XXI, 1. 18. *τῶν* om V — De viduis tanquam ordine ecclesiastico iam Paulus I Tim. 5, 3—16 agit et praeter plura alia id requirit (v. 9), ut vidua sit annos sexaginta nata et unius viri uxor. Praecepta accuratiora de viduis dat auctor Constitutionum apostolorum III, 1—15. Ignatius Smyrn. 13, 1 virgines commemorat vocatas viduas, i. e. virgines, quae ideo appellabantur viduae, quia coetui viduarum adscriptae erant. Origenes in Ioann. 32, 7 (de la Rue IV, 422) viduam in honorem ecclesiasticum connumeratam vel receptam (*καταλεγομένη εἰς ἐκκλησιαστικὴν*

ἀποκαλύψεις περὶ οὗ ἂν δέῃ· 2. μία δὲ παρεδρεύουσα ταῖς ἐν ταῖς νόσοις πειραζομέναις, εὐδιάκονος ᾖ, νηπτική, τὰ δέοντα ἀπαγγέλλουσα τοῖς πρεσβυτέροις, μὴ αἰσχροκερδής, μὴ οἴνῳ πολλῷ προσέχουσα, ἵνα δύνηται νήφειν πρὸς τὰς νυκτερινὰς ὑπηρεσίας, καὶ εἴ τις ἑτέρα βούλοιτο ἐργαγαθεῖν· καὶ γὰρ ταῦτα πρῶτα κυρίου θησαυρίσματά εἰσιν ἀγαθά.

XXII. Ἀνδρέας εἶπεν· Διάκονοι ἐργάται τῶν καλῶν ἔργων νυχθήμερον ἐπελεύσονται πανταχοῦ, μήτε πένητα ὑπεροπτεύοντες μήτε πλούσιον προσωποληπτοῦντες, ἐπιγνώσονται τὸν θλιβόμενον, καὶ ἐκ τῆς λογίας οὐ παραπέμψονται· 2. ἐπαναγκάσουσι τοὺς δυναμένους ἀποθησαυρίζειν εἰς ἔργα ἀγαθά, προορῶντας τοὺς λόγους τοῦ διδασκάλου ἡμῶν· Εἴδετέ με πεινῶντα καὶ οὐκ ἐθρέψατέ με· οἱ γὰρ καλῶς διακονήσαντες καὶ ἀμέμπτως τόπον ἑαυτοῖς προσποιοῦνται τὸν ποιμενικόν.

XXIII. Φίλιππος εἶπεν· Ὁ λαϊκὸς τοῖς λαϊκοῖς πράγμασι περιπειθέσθω ὑποτασσόμενος τοῖς παρεδρεύουσι τῷ θυσιαστηρίῳ. 2. Ἕκαστος τῷ ἰδίῳ τόπῳ ἀρεσκέτω τῷ θεῷ, μὴ φιλεχθροῦντες ἀλλήλοις περὶ τῶν τεταγμένων, ἕκαστος ἐν ᾧ ἐκλήθη παρὰ τῷ

τιμήν, κατατετάχθαι εἰς ἐκκλ. τ.) appellat. Pseudoclemens quoque ordinis viduarum (Recogn. VI, 15) vel *τοῦ χηρικοῦ* (Hom. XI, 36 mentionem facit. Ordo viduarum permansit usque ad aevum medium, quo viduae in monasteriis congregatae brevi monachae fiebant. Cf. *Real-Encyklopädie der christl. Altert.* ed. Kraus II, 947 sqq. — *προσμένουσαι τ. πρ.*] I Tim. 5, 5: *ἡ δὲ ὄντως χήρα .. προσμένει ταῖς δεήσεσιν καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας.* Cf. Constit. apost. III, 5. — *ἀποκαλύψεις*] sunt revera revelationes, non denudationes corporis (sc. in sacramento baptismi administrando) vel similia, ut putavit Bickell.

2. 2. *ᾖ*: *ἤ* V | 4. *δύνατε* V | 5. *πρῶτα κυρίου*: con *παρὰ τῷ κυρίῳ* Pitra — *μὴ αἰσχροκερδής, μὴ οἴνῳ π. πρ.*] I Tim. 3, 8 de diacono dicitur. Praeceptum apte in hoc versu ponitur, in quo non tam de vidua quam de diaconissa sermo fit. — *ἑτέρα*] Ita cum V et versionibus, praesertim Coptica, legendum esse prodit etiam vox *τις*. Alias lectio *ἕτερα* praeferenda sit, ut emendavit Harnack. Auctor ergo de vidua loquitur, quae viduam tertiam vel diaconissam adiuvet, sive cogitat de una ex duabus, quae orationi vacant, sive de vidua in catalogo ecclesiastico non recepta.

XXII, 1. 8. *ἐπελεύσονται*: *ἐπελεύσοντε* V, appropinquantes C, om A, *ἐπιλεύσοντες* editores plures. — *διάκονοι ἐργάται τ. κ. ἔ.*] Cf. Constit. apost. III, 15: *τῆς δικαιοσύνης ἐργάτας διακόνους.* — *ἐκ τ. λογίας*] i. e. ex pecunia ad egenos adiuvandos collecta. Cf. I Cor. 16, 1. 2. Iust. Apol. I, 67. Tert. Apolog. c. 39.

2. *τοὺς δυναμένους ἀποθ. εἰς ἔργα*

velationum causa, si quae opus sunt; 2. una adsidens mulieribus morbo tentatis, bona ministra, sobria, necessaria nuntians presbyteris, non turpis lucri cupida, non multo vino dedita, ut possit vigilare in nocturnis ministeriis, et si quae alia benefacere velit; etenim hi primi Domini thesauri sunt boni.

XXII. Andreas dixit: Diaconi operatores bonorum operum, noctu dieque circumibunt ubique, neque pauperem despicientes neque divitis personam accipientes, agnoscent oppressum neque a collecta excludent; 2. eos vero, quibus facultates sunt, cogent in bonis operibus thesaurizare, considerantes verba magistri nostri: Vidistis me esurientem, et non nutrivistis me. Qui enim bene ministraverunt et inculpabiliter, locum sibi vindicant pastoralem.

XXIII. Philippus dixit: Laicus negotiis saecularibus inserviat, eis subditus, qui altari adsident. 2. Unusquisque proprio suo loco placeat Deo, alius alii non succensens propter institutum ordinem, unusquisque, in quo vocatus est a Domino.

ἀ.] Cf. I Tim. 6, 17—19: *τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε . . ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς . . ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλόν.* — *διδασκάλου ἡμῶν*] Cf. 26, 1. Eadem voce Iustinus et auctor Constitutionum apostolorum Christum saepe appellant. Cf. Apolog. I, 4. 12. 13. 19. 21. 32. Constit. apost. III, 6, 7. 19 etc. — *εἴδετε κτλ.*] Matth. 25, 35—44. Auctor verba Matth. 25, 37 maxime secutus est. — *οἱ γὰρ κτλ.*] I Tim. 3, 13, ubi autem pro *τόπον τὸν ποιμενικόν* legitur *βαθμὸν καλόν.* Auctor etiam I Clem. 44, 3. 5: *λειτουργήσαντας ἀμέμπτως,* respexisse videtur.

XXIII, 1. 16. *περιπειθέσθω* em: *περιποιθέσθω* V — I Clem. 40, 5: *ὁ λαϊκὸς ἄνθρωπος τοῖς λαικοῖς προστάγμασιν δέδεται.* Cf. quae ad hunc locum adnotavi. — *τοῖς παρεδρεύουσι τῷ θυσιαστηρίῳ*] Eisdem verbis utitur Paulus I Cor. 9, 13.

2. *ἕκαστος κτλ.*] I Clem. 41, 1: *ἕκαστος ἡμῶν ἐν τῷ ἰδίῳ τάγματι εὐαρεστείτω* (vel *εὐχαριστείτω* cod. Alex.) *τῷ θεῷ . . μὴ παρεκβαίνων τὸν ὡρισμένον τῆς λειτουργίας αὐτοῦ κανόνα.* Cf. 40, 5, ubi Clemens etiam phrasi *ἴδιος ὁ τόπος* utitur. Tribus ergo locis vel quattuor (cf. 12, 2; 22, 2; 23, 1) auctor proxime ad huius epistulam ad Corinthios accedit, ita ut eum epistulam legisse iure concludamus. — *ἕκαστος*] Versiones addunt: currat (A) vel maneat (C). I Cor. 7, 24 Paulus scribit: *ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ θεῷ.* Hunc locum respiciens Harnack post *ἐκλήθη* inserit: *ἐν τούτῳ μενέτω.* Equidem non muto. Ad vocem *ἕκαστος* suppleri potest *ἀρεσκέτω.*

θεῷ. 3. Ὁ ἕτερος τοῦ ἑτέρου τὸν δρόμον μὴ παρατεμνέσθω· οὐδὲ γὰρ οἱ ἄγγελοι παρὰ τὸ διατεταγμένον αὐτοῖς οὐδὲν ἕτερον ἐξελίσσουσιν.

XXIV. Ἀνδρέας εἶπεν· Εὔχρηστόν ἐστιν, ἀδελφοί, ταῖς γυναιξὶ διακονίαν καταστῆσαι.

XXV. Πέτρος εἶπεν· Ἐφθάσαμεν τάξαντες· περὶ δὲ τῆς προσφορᾶς τοῦ σώματος καὶ τοῦ αἵματος ἀκριβῶς μηνύσωμεν.

XXVI. Ἰωάννης εἶπεν· Ἐπελάθεσθε, ἀδελφοί, ὅτε ᾔτησεν ὁ διδάσκαλος τὸν ἄρτον καὶ τὸ ποτήριον καὶ ηὐλόγησεν αὐτὰ λέγων· Τοῦτό ἐστι τὸ σῶμά μου καὶ τὸ αἷμα, ὅτι οὐκ ἐπέτρεψε ταύταις συστῆναι ἡμῖν. 2. Μάρθα εἶπεν· Διὰ Μαριάμ, ὅτι εἶδεν αὐτὴν μειδιῶσαν. Μαρία εἶπεν· Οὐκέτι ἐγέλασα· προέλεγε γὰρ ἡμῖν, ὅτε ἐδίδασκεν, ὅτι τὸ ἀσθενὲς διὰ τοῦ ἰσχυροῦ σωθήσεται.

XXVII. Κηφᾶς εἶπεν· Ἐνίων μέμνησθε δέ, ὅτι ταῖς γυναιξὶ μὴ ὀρθαῖς πρέπει προσεύχεσθαι, ἀλλὰ ἐπὶ τῆς γῆς καθεζομέναις.

XXVIII. Ἰάκωβος εἶπεν· Πῶς οὖν δυνάμεθα περὶ γυναικῶν διακονίας ὁρίσαι, εἰ μή τι διακονίαν ἵνα ἐπισχύσωσι ταῖς ἐνδεομέναις;

3. 1. *παρατεμνέσθω* V, non *παρατεμνείτο*.— *οἱ ἄγγελοι κτλ.*] Cf. I Clem. 34, 5.

XXIV. Hilgenfeld hoc caput et sequentia usque ad 29, 1 tanquam corrupta vel addita uncis inclusit. Similiter senserunt Pitra et Krawutzcky, *Theol. Quartalschrift* 1882 p. 405 sq. Ego non intellego, cur pars etiam versionibus tradita auctori non sit adscribenda. Sensus hic esse videtur. Postquam de diversis officiis ecclesiasticis actum est, Andreas monet, ut feminis ministerium simile ac diaconis deputetur. Petrus respondet, id iam factum esse, scilicet cum de viduis dictum sit; modo quaeri, an feminis in eucharistia offerenda vel distribuenda officium assignandum sit. Ioannes autem occurrit, hoc non quaeri, cum feminae ad sacramentum eucharistiae instituendum a Domino non fuerint admissae; et Cephas addit, mulieribus ideo quoque in liturgia ministerium non esse attribuendum, quia ipsis humi sedentibus orandum sit. Iacobus tandem sermonem concludit dicens: mulieribus ergo non aliud officium iniungendum esse, nisi ut egenis feminis inserviant.

XXVI. Cf. Matth. 26, 26 sq. Hoc caput Harnack ex Evangelio aliquo apocrypho desumptum esse putat. Sententia autem minime certa est. Auctor hanc partem etiam fingere potuit, ut mulieribus officium in liturgia non esse deputandum probaret. Cf. *Bulletin critique* 1886 p. 362.

1. *ὁ διδάσκαλος*] Vox hic absolute adhibita est, cum 22, 2 de magistro nostro sermo sit. Auctor apostolos et alios aequales Iesu imitatur, qui hunc simpliciter *διδάσκαλε* alloque-

3. Alter alterius cursum ne intercipiat. Neque enim angeli praeter id, quod ipsis praeceptum est, quidquam aliud praeoccupant.

XXIV. Andreas dixit: Utile est, fratres, mulieribus ministerium assignare.

XXV. Petrus dixit: Iam statuimus; de oblatione vero corporis et sanguinis accurate commonefaciamus.

XXVI. Ioannes dixit: Obliti estis, fratres, quod magister, cum panem et calicem rogaret eisque benediceret dicens: Hoc est corpus meum ac sanguis, his non permisit nobiscum stare. 2. Martha dixit: Propter Mariam, quoniam vidit eam subridentem. Maria ait: Non amplius risi; praedixit enim nobis, quando docebat, fore ut infirmum per validum salvaretur.

XXVII. Cephas dixit: Aliqua autem memineritis, quod mulieres non decet stando orare, sed super terram sedentes.

XXVIII. Iacobus dixit: Quomodo igitur possumus de mulierum ministerio decernere, nisi ministerium, quo valeant mulieribus egenis inservire?

bantur. Cf. Matth. 8, 19; 12, 38; 22, 16. 24. 26.

2. 11. *Μάρθα εἶπεν* exstat bis in V — Animadverte contextum. Ratio afferenda erat, cur Dominus in eucharistia instituenda mulieribus cum apostolis stare non permisisset. Auctor autem id non suis verbis facit, sed potius mulieres inducit causas reddentes. Harnack verba *Μάρθα* — *ἐγέλασα* tanquam observationem ab apostolo Ioanne interiectam uncis inclusit. — *οὐκέτι κτλ.*] Maria ergo se risisse non negat, affirmat autem vitium se abiecisse, atque aliam causam addit, ob quam mulieres a sacro ministerio arceantur. — *ἡμῖν*] sc. mulieribus, non apostolis, ut Harnack interpretatur. — *τὸ ἀσθενὲς κτλ.*] S. Scriptura hanc sententiam non exhibet.

XXVII, 14. *δὲ* c. V : *λεγόντων* Hilgf. | 15. *πρέπει* c. versionibus: om V | *ἐπὶ* em: *ἀπὸ* V — Cephas rationem aliam affert, cur mulieribus officia liturgica interdicta sint. Versiones hic valde discrepant. Aethiops legit: Infit Cephas: sunt qui dicant: non decet feminas attollere vocem suam, dum stant in ecclesia (cf. I Cor. 14, 34. 35), sed faciant eas procumbere humi. Interpres Copticus exhibet: Cephas dixit: nonnulli dicunt: decet mulieres orare stantes neque procumbere super terram. — *μὴ ὀρθαῖς κτλ.*] De hoc habitu mulierum alias nihil traditur.

XXVIII. 17. *διακονίαν ὁρίσαι* V, non *διακονίας ὁρ.* | *ἐπισχύσωσι* c. V: coniciebatur *ἐπισχήσωσι* et *ἐπισχῶσι*. — *εἰ μή τι κτλ.*] Inservire ergo mulieribus egenis est solum officium ecclesiasticum, quod mulieribus deputatur.

XXIX. Φίλιππος εἶπεν· Τοῦτο, ἀδελφοί, περὶ τῆς μεταδόσεως. Ὁ ποιῶν ἔργον ἑαυτῷ θησαυρὸν καλὸν περιποιεῖται· ὁ γὰρ θησαυρίζων ἐν τῇ βασιλείᾳ ἔγγραφος ἐργάτης λογισθήσεται παρὰ τῷ θεῷ.

XXX. Πέτρος εἶπεν· Ταῦτα, ἀδελφοί, οὐχ ὡς ἐξουσίαν τινὸς ἔχοντες πρὸς ἀνάγκην, ἀλλ' ἐπιταγὴν ἔχοντες παρὰ κυρίου ἐρωτῶμεν ὑμᾶς φυλάξαι τὰς ἐντολάς, μηδὲν ἀφαιροῦντας ἢ προστιθέντας, ἐν τῷ ὀνόματι κυρίου ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

XXIX. 1 sq. *μεταδώσεως ὁ ποιόν* V — *ὁ ποιῶν κτλ.*] Cf. Matth. 19, 21. — *θησαυρίζων ἐν τ. β.*] Cf. Matth. 6, 20. — *ὡς ἐξουσίαν . . ἔχοντες*] Matth. 7, 29: *ὡς ἐξ. ἔχων.*

XXX. *ἐπιταγήν*] Cf. I Cor. 7, 25. II Cor. 8, 8. — *φυλάξαι κτλ.*] Cf. supra 14. Auctor utramque libelli partem eisdem fere verbis concludit. Hic autem addit *ἐν τῷ ὀνόματι κτλ.*

XXIX. Philippus dixit: Hoc, fratres, de dando. Qui opus facit, sibi thesaurum bonum adquirit. Qui enim thesaurizat in regno, inscriptus operarius putabitur apud Deum.

XXX. Petrus dixit: Haec, fratres, non tanquam potestatem alicuius habentes ad cogendum, sed mandatum habentes a Domino rogamus vos, ut custodiatis praecepta, nihil auferentes vel addentes, in nomine Domini nostri, cui gloria in saecula. Amen.

ΔΙΑΤΑΓΑΙ
ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.
Ζ.

I. Τοῦ νομοθέτου Μωσέως εἰρηκότος τοῖς Ἰσραηλίταις· Ἰδοὺ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου, καὶ ἐπιφέροντος· Ἔκλεξαι τὴν ζωήν, ἵνα ζήσῃς· καὶ τοῦ προφήτου Ἠλία λέγοντος τῷ λαῷ· Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; εἰ θεός ἐστι κύριος, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰκότως ἔλεγε καὶ ὁ κύριος Ἰησοῦς· Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει· 2. ἀναγκαίως καὶ ἡμεῖς ἑπόμενοι τῷ διδασκάλῳ Χριστῷ, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν, φαμέν, ὡς δύο ὁδοί εἰσι, μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου. Οὐδεμίαν δὲ σύγκρισιν ἔχουσιν πρὸς ἑαυτάς, πολὺ γὰρ τὸ διάφορον, μᾶλλον δὲ πάντῃ κεχωρισμέναι τυγχάνουσι, καὶ φυσικὴ μὲν ἔστιν ἡ τῆς ζωῆς ὁδός, ἐπείσακτος δὲ ἡ τοῦ θανάτου, οὐ τοῦ κατὰ γνώμην θεοῦ ὑπάρξαντος, ἀλλὰ τοῦ ἐξ ἐπιβουλῆς τοῦ ἀλλοτρίου.

II. Πρώτη οὖν τυγχάνει ἡ ὁδὸς τῆς ζωῆς· καὶ ἔστιν αὕτη, ἣν καὶ ὁ νόμος διαγορεύει, ἀγαπᾶν κύριον τὸν θεὸν ἐξ ὅλης τῆς διανοίας καὶ ἐξ ὅλης τῆς ψυχῆς, τὸν ἕνα καὶ μόνον, παρ' ὃν ἄλλος οὐκ ἔστιν, καὶ τὸν πλησίον ὡς ἑαυτόν. Καὶ πᾶν, ὃ μὴ θέλεις γενέσθαι σοι, καὶ σὺ τοῦτο ἄλλῳ οὐ ποιήσεις. 2. Εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. Ποία γὰρ ὑμῖν χάρις, ἐὰν φιλῆτε τοὺς φιλοῦντας ὑμᾶς; καὶ γὰρ καὶ οἱ

I, 1. 5. *τὴν ζωὴν* om Pitra. — *ἰδοὺ κτλ.*] Deut. 30, 15. 19. — *ἕως πότε κτλ.*] III Reg. 18, 21. — *οὐδεὶς κτλ.*] Matth. 6, 24. 2. *σωτὴρ κτλ.*] I Tim. 4, 10. — *φυσικὴ κτλ.*] Cf. Sap. 1, 13; 2, 23—24.

CONSTITUTIONES SANCTORUM APOSTOLORUM.

LIBER VII.

I. Cum legislator Moses dixerit Israëlitis: *Ecce dedi ante faciem vestram viam vitae et viam mortis*, ac subiungat: *Elige vitam, ut vivas*, et propheta Elias populo denuntiet: *Usquequo claudicabitis in ambobus poplitibus vestris? Si Deus est Dominus, ambulate post eum:* merito dixit etiam Dominus Iesus: *Nemo potest duobus dominis servire; aut enim unum odio habebit et alterum diliget, aut uni adhaerebit et alterum contemnet;* 2. necessario et nos, secuti magistrum Christum, *qui est salvator omnium hominum, maxime fidelium*, pronuntiamus, quod duae sunt viae, vitae una, mortis altera. Nullam autem habent inter se convenientiam, sed magnum discrimen, immo vero prorsus disiunctae consistunt, ac naturalis quidem est vitae via, adscita autem via mortis, non illius, quae ex voluntate Dei, verum illius, quae ex insidiis adversarii exstitit.

II. Prima igitur est via vitae; eaque est, quam et lex praecipit, *diligere Dominum Deum ex tota mente et ex tota anima, unum ac solum, praeter quem alius non est*, et proximum sicut seipsum. Et omne, quod non vis tibi fieri, et tu hoc alteri ne facias. 2. Benedicite eis, qui vobis maledicunt, orate pro calumniantibus vos, *diligite* inimicos vestros, Quae enim vobis gratia, si amatis eos, qui vos amant? Etenim ethnici quoque

---

Auctor respicit Gnosticos vel Manichaeos.

II, 1. 20 sq. *διανοίας: καρδίας* Lagarde – *ἀγαπᾶν κτλ.*] Deut. 6, 5. Marc. 12, 32—33. Auctor quidem ad legem Mosis provocat, revera autem evangelistam sequitur.

ἐθνικοὶ τοῦτο ποιοῦσιν. Ὑμεῖς δὲ φιλεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ ἐχθρὸν οὐχ ἕξετε. 3. Οὐ μισήσεις γάρ, φησί, πάντα ἄνθρωπον, οὐκ Αἰγύπτιον, οὐκ Ἰδουμαῖον, ἅπαντες γάρ εἰσι τοῦ θεοῦ ἔργα. Φεύγετε δὲ οὐ τὰς φύσεις, ἀλλὰ τὰς γνώμας τῶν πονηρῶν. 4. Ἀπέχου τῶν σαρκικῶν καὶ κοσμικῶν ἐπιθυμιῶν. Ἐάν τίς σοι δῷ ῥάπισμα εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, οὐ φαύλης οὔσης τῆς ἀμύνης, ἀλλὰ τιμιωτέρας τῆς ἀνεξικακίας· λέγει γὰρ ὁ Δαβίδ· Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. Ἐὰν ἀγγαρεύσῃ σέ τις μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο, καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. 5. Τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ θέλοντος δανείσασθαι παρὰ σοῦ μὴ ἀποκλείσῃς τὴν χεῖρα, δίκαιος γὰρ ἀνὴρ οἰκτείρει καὶ κιχρᾷ· πᾶσι γὰρ θέλει δίδοσθαι ὁ πατὴρ ὁ τὸν ἥλιον αὐτοῦ ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ τὸν ὑετὸν αὐτοῦ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους. 6. Πᾶσιν οὖν δίκαιον διδόναι ἐξ οἰκείων πόνων· Τίμα γάρ, φησί, τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων· προτιμητέον δὲ τοὺς ἁγίους. 7. Οὐ φονεύσεις, τοῦτ' ἔστιν οὐ φθερεῖς τὸν ὅμοιόν σοι ἄνθρωπον, διαλύεις γὰρ τὰ καλῶς γινόμενα· οὐχ ὡς παντὸς φόνου φαύλου τυγχάνοντος, ἀλλὰ μόνου τοῦ ἀθώου, τοῦ δὲ ἐνδίκου ἄρχουσι μόνοις ἀφωρισμένου. 8. Οὐ μοιχεύσεις, διαιρεῖς γὰρ μίαν σάρκα εἰς δύο· Ἔσονται γάρ, φησίν, οἱ δύο εἰς σάρκα μίαν· ἓν γάρ εἰσιν ἀνὴρ καὶ γυνὴ τῇ φύσει, τῇ συμπνοίᾳ, τῇ ἑνώσει, τῇ διαθέσει, τῷ βίῳ, τῷ τρόπῳ, κεχωρισμένοι δέ εἰσι τῷ σχήματι καὶ τῷ ἀριθμῷ. 9. Οὐ παιδοφθορήσεις· παρὰ φύσιν γὰρ τὸ κακὸν ἐκ Σοδόμων φυέν, ἥτις πυρὸς θεηλάτου παρανάλωμα γέγονεν· ἐπικατάρατος δὲ ὁ τοιοῦτος, καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο. 10. Οὐ πορνεύσεις· Οὐκ ἔσται γάρ, φησί, πορνεύων ἐν υἱοῖς Ἰσραήλ. 11. Οὐ κλέψεις· Ἄχαρ γὰρ κλέψας ἐν τῷ Ἰσραὴλ ἐν Ἱεριχῷ λίθοις βληθεὶς τοῦ ζῆν ὑπ-

3. *οὐ μισήσεις κτλ.*] Deut. 23, 7.
4. *εἰ ἀνταπέδωκα*] Ps. 7, 5. — *καὶ τῷ θέλοντί σοι κρ. καί*] Matth. 5, 40.
5. 12. *ἀποκλείσῃς*: editores ceteri praemittunt *ἀποστραφεὶς* uncinis inclusum. — *ἀπὸ τὸ θέλοντος κτλ.*] Matth. 5, 42: *τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς*. — *δίκαιος κτλ.*] Ps. 111, 5. — *ὁ τὸν ἥλιον κτλ.*] Matth. 5, 45.

6. *τίμα κτλ.*] Prov. 3, 9. — *προτιμητέον δὲ τ. ἁγ.*] Cf. Gal. 6, 10.
7. *τοῦ δὲ ἐνδίκου κτλ.*] Cf. Rom. 13, 4.
8. *ἔσονται κτλ.*] Gen. 2, 24. Similia de adulterio et peccatis sequentibus, scilicet paederastia et fornicatione, Constit. apost. VI, 28 dicuntur, et quidem ab interpolatore, non ab auctore Didascaliae principe.

hoc faciunt; vos autem amate eos, qui vos oderunt, et inimicum non habebitis. 3. Ait enim: *Ne oderis ullum hominem*, *non Aegyptium, non Idumaeum;* nam omnes sunt Dei opus. Fugite autem non naturas, sed voluntates improborum. 4. Abstine a carnalibus et mundanis cupiditatibus. Si quis incusserit tibi colaphum in dexteram maxillam, obverte illi et alteram, non quod mala sit ultio, sed quod pluris fieri debeat patientia. David enim dicit: *Si reddidi retribuentibus mihi mala.* Si angariaverit te aliquis unum milliare, vade cum illo duo, *et ei, qui vult tecum iudicio contendere et* tunicam tuam tollere, dimitte ei et pallium, et qui aufert quae tua sunt, ne repetas. 5. Petenti te da, et *volenti mutuari a te ne claudas manum; vir enim iustus miseretur et commodat;* omnibus enim vult tribui pater, qui *solem suum oriri facit super malos et bonos et pluviam suam demittit super iustos et iniustos.* 6. Aequum igitur est, ut omnibus demus ex propriis laboribus. *Honora* enim, inquit, *Dominum de tuis iustis laboribus,* oportet autem praeferre sanctos. 7. Non occides, id est, non destrues similem tibi hominem; dissolvis enim, quae recte facta sunt; non quod omnis caedes sit vitiosa, sed innocentis solius, cum iusta caedes magistratibus solis reservetur. 8. Non moechaberis, dividis enim unam carnem in duo; ait quippe: *Erunt duo in carnem unam,* siquidem maritus et uxor unum sunt natura, conspiratione, unione, affectu, vita, more; separantur vero sexu ac numero. 9. Non corrumpes pueros; naturae enim adversatur vitium ex Sodomis ortum, quae civitas igne divinitus immisso consumpta fuit; *maledictus* autem, qui talis est, *et dicet omnis populus: Fiat.* 10. Non fornicaberis: *Non erit* enim, inquit, *fornicator in filiis Israël.* 11. Non furaberis. Achar namque cum in Israel apud Hierichuntem furatus esset, lapidibus obrutus excessit ex vita; et Giezi, quod

9. *παρὰ φύσιν κτλ.*] Cf. Lev. 18, 22. Gen. 19, 24. Constit. apost. VI, 28 legimus: *καὶ γὰρ παρὰ φύσιν ἐστὶν ἡ Σοδόμων ἁμαρτία.* — *ἐπικατάρατος κτλ.*] Deut. 27, 15—26. Formula illa hic plura peccata inducuntur. Idem S. Scripturae locus allegatur Constit. VI, 28.

10. *οὐκ ἔσται*] Deut. 23, 17. Etiam hoc dictum laudatur Constit. VI, 28.

11. *Ἄχαρ*] Cf. Ios. 7, 18—26. — *Γιεζεῖ*] Cf. IV Reg. 5, 20—27. Simi-

ἐξῆλθε, καὶ Γιεζεὶ κλέψας καὶ ψευσάμενος ἐκληρονόμησε τοῦ Νεεμὰν τὴν λέπραν, καὶ Ἰούδας κλέπτων τὰ τῶν πενήτων τὸν κύριον τῆς δόξης παρέδωκεν Ἰουδαίοις, καὶ μεταμεληθεὶς ἀπήγξατο καὶ ἐλάκησε μέσος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ Ἀνανίας καὶ Σαπφείρα ἡ τούτου γυνή, κλέψαντες τὰ ἴδια καὶ πειράσαντες τὸ πνεῦμα κυρίου, παραχρῆμα ἀποφάσει Πέτρου τοῦ συναποστόλου ἡμῶν ἐθανατώθησαν.

III. Οὐ μαγεύσεις, οὐ φαρμακεύσεις· Φαρμακοὺς γάρ, φησίν, οὐ περιβιώσετε. 2. Οὐ φονεύσεις τέκνον σου ἐν φθορᾷ, οὐδὲ τὸ γεννηθὲν ἀποκτενεῖς· πᾶν γὰρ τὸ ἐξεικονισμένον, ψυχὴν λαβὸν παρὰ θεοῦ, φονευθὲν ἐκδικηθήσεται, ἀδίκως ἀναιρεθέν. 3. Οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου, οἷον τὴν γυναῖκα ἢ τὸν παῖδα ἢ τὸν βοῦν ἢ τὸν ἀγρόν. 4. Οὐκ ἐπιορκήσεις· ἐρρέθη γὰρ μὴ ὀμόσαι ὅλως· εἰ δὲ μήγε, κἂν εὐορκήσῃς, ὅτι ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ. 5. Οὐ ψευδομαρτυρήσεις, ὅτι ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν.

IV. Οὐ κακολογήσεις· Μὴ ἀγάπα γάρ, φησί, κακολογεῖν, ἵνα μὴ ἐξαρθῇς· οὐδὲ μνησικακήσεις, ὁδοὶ γὰρ μνησικάκων εἰς θάνατον. 2. Οὐκ ἔσῃ δίγνωμος οὐδὲ δίγλωσσος· παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. 3. Οὐκ ἔσται ὁ λόγος σου κενός· περὶ παντὸς γὰρ λόγου ἀργοῦ δώσετε λόγον. 4. Οὐ ψεύσῃ· Ἀπολεῖς γάρ, φησί, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. 5. Οὐκ ἔσῃ πλεονέκτης οὐδὲ ἅρπαξ· Οὐαὶ γάρ, φησίν, ὁ πλεονεκτῶν τὸν πλησίον πλεονεξίαν κακήν. 6. Οὐκ ἔσῃ ὑποκριτής, ἵνα μὴ τὸ μέρος σου μετ' αὐτῶν θῇς.

V. Οὐκ ἔσῃ κακοήθης οὐδὲ ὑπερήφανος· ὑπερηφάνοις γὰρ ὁ θεὸς ἀντιτάσσεται. 2. Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι τοῦ κυρίου ἡ κρίσις. 3. Οὐ μισήσεις πάντα ἄνθρωπον. Ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν· καὶ ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. 4. Φεῦγε ἀπὸ παντὸς κακοῦ καὶ ἀπὸ παντὸς ὁμοίου αὐτῷ·

liter Achar et Giezi Constit. apost. II, 10 commemorantur, et quidem per interpolatorem, non per auctorem operis principem. — *Ἰούδας*] Cf. Ioann. 12, 6. Matth. 27, 3—5. Act. 1, 18. — *Ἀνανίας*] Cf. Act. 5, 1—10. III, 1. *φαρμακοὺς κτλ.*] Exod. 22, 18. 2. *πᾶν κτλ.*] Cf. Exod. 21, 23. 3. *τὴν γυναῖκα κτλ.*] Exod. 20, 17. 4. *μὴ ὀμόσαι*] Matth. 5, 34. — *ἐπαινεθήσεται*] Ps. 62, 12. 5. *ὁ συκοφαντῶν*] Prov. 14, 31. IV, 1. *μὴ ἀγάπα*] Prov. 20, 13. — *ὁδοί*] Prov. 12, 28.

furtum ac mendacium commisisset, Naamanis lepram in hereditatem accepit; et Iudas, res pauperum surripiens, Dominum gloriae Iudaeis *prodidit, ac paenitentia ductus laqueo se suspendit et crepuit medius, diffusaque sunt omnia viscera eius;* et Ananias atque Saphira, uxor eius, quoniam propria bona rapuerant et *tentaverant spiritum Domini,* statim sententia Petri coapostoli nostri morte mulctati fuerunt.

III. Non uteris magia neque praestigiis; dicit enim: *Praestigiatores non sinetis vivere.* 2. Non interficies filium tuum in abortione, neque quod natum est necabis; omne enim formatum, quod animam a Deo accepit, si perimatur, vindicabitur, utpote iniuste occisum. 3. Non concupisces, quae ad proximum tuum pertinent, ut *uxorem aut servum aut bovem aut agrum.* 4. Non peierabis; dictum enim est: *Non iurabis omnino*; sin minus, saltem pie ac vere iura; quia *laudabitur omnis, qui iurat in eo.* 5. Non dices falsum testimonium, quoniam *qui calumniatur pauperem, lacessit eum, qui illum fecit.*

IV. Non maledices: *Ne diligas* enim, inquit, *maledicere, ne tollaris.* Neque iniurias recordaberis; viae enim *eorum, qui memores sunt iniuriarum, in mortem.* 2. Non eris duplicis sententiae neque duplicis linguae; laqueus enim *fortis viro propria labia;* et *vir linguosus non dirigetur in terra.* 3. Non erit sermo tuus vanus; *de omni* enim *verbo otioso reddetis rationem.* 4. Non mentieris: *Perdes* enim, inquit, *omnes, qui loquuntur mendacium.* 5. Non eris fraudator neque rapax: *Vae* enim, inquit, *ei, qui proximum fraudat fraude mala.* 6. Non eris hypocrita, ne *partem tuam cum eis ponas.*

V. Non eris malignus neque superbus; *superbis* enim *Deus resistit.* 2. Non accipies personam in iudicio, *quia Domini est iudicium.* 3. Non odio habebis ullum hominem. *Arguendo argues fratrem tuum, et non accipies propter eum peccatum;* et *argue sapientem, et diliget te.* 4. Fuge ab omni malo et ab omni

2. *παγὶς γ. ἰσχυρά*] Prov. 6, 2. — *ἀνήρ*] Ps. 139, 11.

3. *περὶ παντός*] Matth. 12, 36.

4. *ἀπολεῖς*] Ps. 5, 7. Cf. Pseudoign. Her. 5, 1.

5. *οὐαί*] Habac. 2, 9.

6. *τὸ μέρος*] Matth. 24, 51.

V, 1. *ὑπερηφάνοις*] Prov. 3, 34. Iac. 4, 6. Cf. Pseudoign. Her. 5, 1.

2. *τ. κ. ἡ κρίσις*] Deut. 1, 17. Cf. 10, 2.

3. *ἐλεγμῷ*] Lev. 19, 17. — *ἔλεγχε*] Prov. 9, 8.

Ἄπεχε γάρ, φησίν, ἀπὸ ἀδίκου, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. 5. Μὴ γίνου ὀργίλος μηδὲ βάσκανος μηδὲ ζηλωτὴς μηδὲ μανικὸς μηδὲ θρασύς, ἵνα μὴ πάθῃς τὰ τοῦ Καΐν καὶ τὰ τοῦ Σαοὺλ καὶ τὰ τοῦ Ἰωάβ· ὅτι ὃς μὲν ἀπέκτεινε τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ διὰ τὸ πρόκριτον αὐτὸν εὑρεθῆναι παρὰ θεῷ καὶ διὰ τὸ προκριθῆναι τὴν θυσίαν αὐτοῦ· ὃς δὲ τὸν ὅσιον Δαβὶδ ἐδίωκε νικήσαντα τὸν Γολιὰθ τὸν Φιλιστιαῖον, ζηλώσας ἐπὶ τῇ τῶν χορευτριῶν εὐφημίᾳ· ὃς δὲ τοὺς δύο στρατάρχας ἀνεῖλε, τὸν Ἀβεννὴρ τὸν τοῦ Ἰσραὴλ καὶ Ἀμεσσὰ τὸν τοῦ Ἰούδα.

VI. Μὴ γίνου οἰωνοσκόπος, ὅτι ὁδηγεῖ πρὸς εἰδωλολατρείαν· Οἰώνισμα δέ, φησὶν ὁ Σαμουήλ, ἁμαρτία ἐστί, καί· Οὐκ ἔσται οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ. 2. Οὐκ ἔσῃ ἐπᾴδων ἢ περικαθαίρων τὸν υἱόν σου, οὐ κληδονιεῖς οὐδὲ οἰωνισθήσῃ οὐδὲ ὀρνεοσκοπήσεις οὐδὲ μαθήσῃ μαθήματα πονηρά· ταῦτα γὰρ ἅπαντα καὶ ὁ νόμος ἀπεῖπε. 3. Μὴ γίνου ἐπιθυμητὴς κακῶν, ὁδηγηθήσῃ γὰρ εἰς ἀμετρίαν ἁμαρτημάτων. 4. Οὐκ ἔσῃ αἰσχρολόγος οὐδὲ ῥιψόφθαλμος οὐδὲ μέθυσος· ἐκ γὰρ τούτων πορνεῖαι καὶ μοιχεῖαι γίνονται. 5. Μὴ γίνου φιλάργυρος, ἵνα μὴ ἀντὶ θεοῦ δουλεύσῃς τῷ μαμωνᾷ. 6. Μὴ γίνου κενόδοξος μηδὲ μετέωρος μηδὲ ὑψηλόφρων, ἐκ γὰρ τούτων ἁπάντων ἀλαζονίαι γίνονται· μνήσθητι τοῦ εἰπόντος· Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ, εἰ μὴ ἐταπεινοφρόνουν.

VII. Μὴ γίνου γόγγυσος, μνησθεὶς τῆς τιμωρίας ἧς ὑπέστησαν οἱ καταγογγύσαντες Μωσέως. 2. Μὴ ἔσο αὐθάδης μηδὲ πονηρόφρων μηδὲ σκληροκάρδιος μηδὲ θυμώδης μηδὲ μικρόψυχος, πάντα γὰρ ταῦτα ὁδηγεῖ πρὸς βλασφημίαν. 3. Ἴσθι δὲ πρᾶος ὡς Μωυσῆς καὶ Δαβίδ, ἐπεὶ οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν.

VIII. Γίνου μακρόθυμος· ὁ γὰρ τοιοῦτος πολὺς ἐν φρονήσει, ἐπείπερ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων. 2. Γίνου ἐλεήμων· μακάριοι γὰρ οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. 3. Ἔσο ἄκακος, ἥσυχος, ἀγαθός, τρέμων τοὺς λόγους τοῦ θεοῦ. 4. Οὐχ ὑψώσεις σεαυτὸν ὡς ὁ

4. *ἄπεχε*] Ies. 54, 14.
5. *Καΐν*] Gen. 4. — *Σαούλ*] I Reg. 17—18. — *Ἰωάβ*] III Reg. 2, 32.
VI, 1. *οἰώνισμα*] I Reg. 15, 23. — *οὐκ ἔσται*] Num. 23, 23.
2. *τὸν υἱόν σου οὐ κτλ.*] Deut. 18, 10. — *οὐδὲ οἰωνισθήσῃ κτλ.*] Lev. 19, 26.
5. *ἵνα μή*] Cf. Matth. 6, 24.
6. *κύριε*] Ps. 130, 1. 2.
VII, 1. *τῆς τιμωρίας*] Cf. Num. 12—14.

re illi simili. *Recede* enim, inquit, *ab iniquo, et tremor non appropinquabit tibi.* 5. Ne sis iracundus neque invidus neque aemulator neque furiosus neque ferox, ne tibi accidant, quae Caïn et Saul et Ioab; quoniam primus quidem occidit fratrem suum Abel, quod is apud Deum praestantior esset inventus quodque eiusdem sacrificium praelatum fuisset; secundus vero sanctum David persequebatur, victorem Goliath Philistaei, invidens ob saltatricum faustam acclamationem; tertius denique duos exercitus duces confodit, Abner ducem Israël et Amasam ducem Iudae.

VI. Ne sis augur, quia id ducit ad idololatriam: *Augurium* enim, inquit Samuel, *peccatum est:* et: *Non erit auguratio in Iacob neque divinatio in Israël.* 2. Non eris incantator aut lustrans *filium tuum. Non ominaberis neque auguraberis neque auspicaberis* neque disces pravas disciplinas; haec enim omnia etiam lex prohibuit. 3. Ne sis cupitor malorum; deduceris enim in peccatorum nimietatem. 4. Non eris turpiloquus neque emissiciis oculis neque vinolentus; inde enim fornicationes et adulteria oriuntur. 5. Ne sis avarus, ne vice Dei servias mammonae. 6. Ne sis inanis gloriae cupidus neque elatus neque altum sapiens: ex his quippe omnibus superbiae prodeunt; memento illius, qui dixit: *Domine, non est exaltatum cor meum neque elati sunt oculi mei, neque ambulavi in magnis neque in mirabilibus super me, si non humiliter sentiebam.*

VII. Ne sis murmurator, memor poenarum, quas dederunt, qui Mosi obmurmurarunt. 2. Ne sis pervicax nec malitiosus nec duro corde nec iracundus nec pusilli animi; omnia enim haec ducunt ad blasphemiam. 3. Sis vero mitis, ut Moses et David, quandoquidem mites possidebunt terram.

VIII. Sis longanimis; qui enim talis est, *multus est in prudentia,* siquidem *pusillanimis vehementi stultitia tenetur.* 2. Sis misericos; *beati enim misericordes, quoniam ipsi misericordiam consequentur.* 3. Esto innocens, quietus, bonus, tremens sermones Dei. 4. Non te exaltabis, ut Pharisaeus, *quia*

3. *πρᾶος ὡς Μωυσῆς*] Cf. Num. 12, 3. — *Δαβίδ*] Cf. Ps. 131, 1. VIII, 1. *πολὺς κτλ.*] Prov. 14, 29. Cf. Pseudoign. Her. 5, 2. 2. *μακάριοι*] Matth. 5, 7.

Φαρισαῖος, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ τὸ ὑψηλὸν ἐν ἀνθρώποις βδέλυγμα παρὰ τῷ θεῷ. 5. Οὐ δώσεις τῇ ψυχῇ σου θράσος, ὅτι θρασὺς ἀνὴρ ἐμπεσεῖται εἰς κακά. 6. Οὐ συμπορεύσῃ μετὰ ἀφρόνων, ἀλλὰ μετὰ σοφῶν καὶ δικαίων· ὁ συμπορευόμενος γὰρ σοφοῖς σοφὸς ἔσται, ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται. 7. Τὰ συμβαίνοντά σοι πάθη εὐμενῶς δέχου καὶ τὰς περιστάσεις ἀλύπως, εἰδώς, ὅτι μισθὸς παρὰ θεοῦ σοι δοθήσεται ὡς τῷ Ἰὼβ καὶ τῷ Λαζάρῳ.

IX. Τὸν λαλοῦντά σοι τὸν λόγον τοῦ θεοῦ δοξάσεις, μνησθήσῃ δὲ αὐτοῦ ἡμέρας καὶ νυκτός, τιμήσεις δὲ αὐτὸν οὐχ ὡς γενέσεως αἴτιον, ἀλλ' ὡς τοῦ εὖ εἶναί σοι πρόξενον γινόμενον· ὅπου γὰρ ἡ περὶ θεοῦ διδασκαλία, ἐκεῖ ὁ θεὸς πάρεστιν. 2. Ἐκζητήσεις καθ' ἡμέραν τὸ πρόσωπον τῶν ἁγίων, ἵν' ἐπαναπαύῃ τοῖς λόγοις αὐτῶν.

X. Οὐ ποιήσεις σχίσματα πρὸς τοὺς ἁγίους, μνησθεὶς τῶν Κορειτῶν. Εἰρηνεύσεις μαχομένους ὡς Μωσῆς, συναλλάσσων εἰς φιλίαν. 2. Κρινεῖς δικαίως· τοῦ γὰρ κυρίου ἡ κρίσις. 3. Οὐ λήψῃ πρόσωπον ἐλέγξαι ἐπὶ παραπτώματι, ὡς Ἠλίας καὶ Μιχαίας τὸν Ἀχαάβ, καὶ Ἀβδεμέλεχ ὁ Αἰθίοψ τὸν Σεδεκίαν, καὶ Νάθαν τὸν Δαβίδ, καὶ Ἰωάννης τὸν Ἡρώδην.

XI. Μὴ γίνου δίψυχος ἐν προσευχῇ σου, εἰ ἔσται ἢ οὔ· λέγει γὰρ ὁ κύριος ἐμοὶ Πέτρῳ ἐπὶ τῆς θαλάσσης· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας. 2. Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὴν χεῖρα, πρὸς δὲ τὸ δοῦναι συστέλλων.

XII. Ἐὰν ἔχῃς διὰ τῶν χειρῶν σου, δός, ἵνα ἐργάσῃ εἰς λύτρωσιν ἁμαρτιῶν σου· ἐλεημοσύναις γὰρ καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. 2. Οὐ διστάσεις δοῦναι πτωχῷ, οὐδὲ διδοὺς γογγύσεις· γνώσῃ γάρ, τίς ἐστιν ὁ τοῦ μισθοῦ ἀνταποδότης. Ὁ ἐλεῶν γάρ, φησί, πτωχὸν κυρίῳ δανείζει, κατὰ δὲ τὸ δόμα αὐτοῦ, οὕτως ἀνταποδοθήσεται αὐτῷ. 3. Οὐκ ἀποστραφήσῃ ἐνδεόμενον· Ὃς φράσσει γάρ, φησί, τὰ ὦτα αὐτοῦ μὴ εἰσακοῦσαι τοῦ δεομένου, καὶ αὐτὸς ἐπικαλέσεται

4. *πᾶς κτλ.*] Luc. 18, 14. — *τὸ ὑψηλόν*] Luc. 16, 15.
5. *θρασύς*] Prov. 13, 17.
6. 4 sq. *ὁ συμπορευόμενος — γνωσθήσεται* om Lagarde — *ὁ συμπορευόμενος κτλ.*] Prov. 13, 20.
7. *Ἰώβ*] Cf. Iob. 42. — *Λαζάρῳ*] Cf. Luc. 16.

IX, 1. *ὡς γενέσεως αἴτιον*] scilicet patrem vel matrem, qui infra c. 15 *αἴτιοι γενέσεως* appellantur. Cf. Pseudoign. Her. 4, 1.

X, 1. *Κορειτῶν*] Cf. Num. 16, 26 —27. — *Μωσῆς*] Cf. Exod. 2, 13.

omnis, qui se exaltat humiliabitur, et *quod altum est in hominibus, abominatio est apud Deum.* 5. Non dabis animae tuae audaciam, quia vir *audax incidet in mala.* 6. Non gradieris cum insipientibus, sed cum sapientibus ac iustis; *qui* enim *graditur cum sapientibus*, *sapiens erit; qui vero graditur cum insipientibus*, *agnoscetur.* 7. Si tibi acciderint morbi et casus, placide eos accipito et absque aegritudine ferto, sciens, quod tibi a Deo dabitur merces sicut Iob et Lazaro.

IX. Eum, qui sermonem Dei tibi loquitur, coles, eiusque eris memor die ac nocte, honorabis autem eum non tamquam originis auctorem, sed tamquam illum, qui tibi ut bene esses conciliator exstitit; ubi enim doctrina de Deo, ibi Deus adest. 2. Exquires cotidie faciem sanctorum, ut acquiescas sermonibus eorum.

X. Non facies schismata adversum sanctos, memor Coritarum. Pacem inter dissidentes compones, ut Moses, eosque in amicitiam reconciliabis. 2. Iudicabis iuste; *Domini* enim *est iudicium.* 3. Non accipies personam in arguendo de peccato, ut Elias et Michaeas Achab arguerunt, et Abdimelech Aethiops Sedeciam, et Nathan David, et Ioannes Herodem.

XI. Ne sis duplici animo in precatione tua, utrum futurum sit an non; dixit enim Dominus mihi Petro in mari: *Modicae fidei*, *quare dubitasti?* 2. Noli ad accipiendum quidem manum porrigere, ad dandum vero contrahere.

XII. Si habes manibus tuis, da, ut opereris in redemptionem peccatorum tuorum; *eleemosynis* enim *ac fide purgantur peccata.* 2. Non dubitabis largiri pauperi, neque largiens murmurabis; cognosces enim, quis sit mercedis retributor. Ait quippe: *Qui miseretur pauperis, Domino faenerat, secundum autem datum illius, sic retribuetur ei.* 3. Ne avertas te ab indigente: *Qui obturat* enim, inquit, *aures suas, ne audiat egentem,*

2. *τ. κ. ἡ κρίσις*] Deut. 1, 17. Cf. 5, 2.

3. *Ἡλίας κτλ.*] Cf. III Reg. 18, 21. 22. — *Ἀβδεμέλεχ*] Cf. Ierem. 38. — *Ναθάν*] Cf. II Reg. 12. — *Ἰωάννης*] Cf. Matth. 14, 3—4.

XI, 1. *ὀλιγόπιστε*] Matth. 14, 31.

XII, 1. *ἐλεημοσύναις*] Prov. 16, 6. Cf. Pseudoign. Her. 5, 2.

2. *ὁ ἐλεῶν*] Prov. 19, 17.

3. 30. *καὶ αὐτός : αὐτὸς* Pitra. — *ὃς φράσσει*] Prov. 21, 13.

καὶ οὐκ ἔσται ὁ εἰσακούων αὐτοῦ. 4. Κοινωνήσεις εἰς πάντα τῷ ἀδελφῷ σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· κοινὴ γὰρ ἡ μετάληψις παρὰ θεοῦ πᾶσιν ἀνθρώποις παρεσκευάσθη. 5. Οὐκ ἀρεῖς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις αὐτοὺς τὸν φόβον τοῦ θεοῦ. Παίδευε γάρ, φησί, τὸν υἱόν σου· οὕτω γὰρ ἔσται σοι εὔελπις.

XIII. Οὐκ ἐπιτάξεις δούλῳ σου ἢ παιδίσκῃ τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν πεποιθόσιν ἐν πικρίᾳ ψυχῆς, μήποτε στενάξωσιν ἐπὶ σοὶ καὶ ἔσται σοι ὀργὴ παρὰ θεοῦ. 2. Καὶ ὑμεῖς, οἱ δοῦλοι, ὑποτάγητε τοῖς κυρίοις ὑμῶν ὡς τύποις θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ, ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις.

XIV. Μισήσεις πᾶσαν ὑπόκρισιν καὶ πᾶν, ὃ ἐὰν ᾖ ἀρεστὸν κυρίῳ, ποιήσεις. 2. Οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου, φυλάξεις δὲ ἃ παρέλαβες παρ' αὐτοῦ, μήτε προστιθεὶς ἐπ' αὐτοῖς μήτε ἀφαιρῶν ἀπ' αὐτῶν· οὐ προσθήσεις γὰρ τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ. 3. Ἐξομολογήσῃ κυρίῳ τῷ θεῷ σου τὰ ἁμαρτήματά σου καὶ οὐκ ἔτι προσθήσεις ἐπ' αὐτοῖς, ἵνα εὖ σοι γένηται παρὰ κυρίῳ τῷ θεῷ σου, ὃς οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν.

XV. Τὸν πατέρα σου καὶ τὴν μητέρα θεραπεύσεις ὡς αἰτίους σοι γενέσεως, ἵνα γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς ἧς κύριος ὁ θεός σου δίδωσι σοι. 2. Τοὺς ἀδελφούς σου καὶ τοὺς συγγενεῖς σου μὴ ὑπερίδῃς· τοὺς γὰρ οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει.

XVI. Τὸν βασιλέα φοβηθήσῃ, εἰδώς, ὅτι τοῦ κυρίου ἐστὶν ἡ χειροτονία· τοὺς ἄρχοντας αὐτοῦ τιμήσεις ὡς λειτουργοὺς θεοῦ, ἔκδικοι γάρ εἰσιν πάσης ἀδικίας· οἷς ἀποτίσατε τέλος, φόρον καὶ πᾶσαν εἰσφορὰν εὐγνωμόνως.

XVII. Οὐ προσελεύσῃ ἐπὶ προσευχήν σου ἐν ἡμέρᾳ πονηρίας σου, πρὶν ἂν λύσῃς τὴν πικρίαν σου. 2. Αὕτη ἐστὶν ἡ ὁδὸς τῆς ζωῆς, ἧς γένοιτο ἐντὸς ὑμᾶς εὑρεθῆναι διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

XVIII. Ἡ δὲ ὁδὸς τοῦ θανάτου ἐστὶν ἐν πράξεσι πονηραῖς θεωρουμένη· 2. ἐν αὐτῇ γὰρ ἄγνοια θεοῦ καὶ πολλῶν θεῶν ἐπεισαγωγή, δι' ὧν φόνοι, μοιχεῖαι, πορνεῖαι, ἐπιορκίαι, ἐπιθυμίαι παράνομοι,

5. *παίδευε*] Prov. 19, 18.
XIII, 2. *ὡς τῷ κυρίῳ κτλ.*] Eph. 6, 7.
XIV, 3. *ἐξομολογήσῃ*] Doctrina 14, 14 praemittit *ἐν ἐκκλησίᾳ*. Quae verba auctor ideo omisisse videtur, quia suo tempore confessio peccatorum publica nonnisi raro fiebat. Infra c. 30 confessionem peccatorum omisit, quam Doctrina 14, 1 in liturgia dominica celebranda postulat. — *οὐ προσθήσεις*] Prov. 30, 6. — *ἵνα*

et ipse invocabit, *et non erit*, *qui exaudiat eum.* 4. Communicabis omnia cum fratre tuo, et non dices propria esse; communis enim participatio a Deo omnibus hominibus praeparata fuit. 5. Non tolles manum tuam a filio tuo aut a filia tua, sed a iuventute doce eos timorem Dei. *Castiga* enim, inquit, *filium tuum; sic enim erit tibi bonae spei.*

XIII. Servo tuo aut ancillae, in eumdem Deum fiduciam habentibus, non imperabis in amaritudine animae, ne forte ingemiscant adversus te, et tibi ira a Deo incumbet. 2. Et vos servi, dominis vestris tamquam Deum repraesentantibus estote subiecti in reverentia et metu, *sicut Domino et non hominibus.*

XIV. Odio habebis omnem hypocrisim, et quidquid Domino fuerit placitum, facies. 2. Ne deseras mandata Domini, servabis autem, quae accepisti ab eo, neque addens in eis, neque detrahens ab eis. *Non addis* enim *verbis illius*, *ne arguat te et mendax fias.* 3. Confiteberis Domino Deo tuo peccata tua, et non amplius adicies ad ea, *ut bene sit tibi* a Domino Deo tuo, qui non vult mortem peccatoris, sed paenitentiam.

XV. *Patrem tuum et matrem coles* tamquam tibi ortus auctores, *ut fias longaevus super terram*, *quam Dominus Deus tuus dat tibi.* 2. Fratres tuos et cognatos tuos ne despicias; *domesticos* enim *seminis tui ne despexeris.*

XVI. Regem vereberis, sciens a Domino esse electionem; magistratus eius honorabis ut ministros Dei; vindices enim sunt omnis iniuriae; quibus grato animo exsolvite vectigal, tributum omnemque collationem.

XVII. Non accedas ad precationem tuam in die improbitatis tuae, priusquam amaritudinem tuam deponas. 2. Haec est via vitae, intra quam vos utinam inveniamini per Iesum Christum Dominum nostrum.

XVIII. Via autem mortis in pravis actionibus cernitur; 2. in ea enim est ignoratio Dei et introductio multorum deorum, per quos caedes, adulteria, scortationes, periuria, cupiditates

εὖ σοι γ.] Deut. 4, 40; 5, 16. — *οὐ βούλεται*] Cf. Ezech. 18, 23. 32; 33, 11. II Petr. 3, 9.

XV, 1. *τὸν πατέρα*] Exod. 20, 12.

2. *τοὺς οἰκείους*] Ies. 58, 7.

XVI. Cf. Rom. 13, 1—7.

XVIII, 2. 31. *ἐπιθυμίαι παράνομοι* exhibet Pitra ante *πορνεῖαι.*

κλοπαί, εἰδωλολατρεῖαι, μαγίαι, φαρμακεῖαι, ἁρπαγαί, ψευδομαρτυρίαι, ὑποκρίσεις, διπλοκαρδίαι, δόλος, ὑπερηφανία, κακία, αὐθάδεια, πλεονεξία, αἰσχρολογία, ζηλοτυπία, θρασύτης, ὑψηλοφροσύνη, ἀλαζονεία, ἀφοβία, διωγμὸς ἀγαθῶν, ἀληθείας ἔχθρα, ψεύδους ἀγάπη, ἄγνοια δικαιοσύνης. 3. Οἱ γὰρ τούτων ποιηταὶ οὐ κολλῶνται ἀγαθῷ οὐδὲ κρίσει δικαίᾳ· ἀγρυπνοῦσιν οὐκ εἰς τὸ ἀγαθόν, ἀλλ' εἰς τὸ πονηρόν· ὧν μακρὰν πραότης καὶ ὑπομονή· μάταια ἀγαπῶντες, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι ἐνδεόμενον, καταπονοῦντες θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων ὑπερόπται, πανθαμάρτητοι. Ῥυσθείητε, τέκνα, ἀπὸ τούτων ἁπάντων.

XIX. Ὅρα μή τίς σε πλανήσῃ ἀπὸ τῆς εὐσεβείας· Οὐκ ἐκκλινεῖς γάρ, φησίν, ἀπ' αὐτῆς δεξιὰ ἢ εὐώνυμα, ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν πράσσῃς· οὐ γὰρ ἐὰν μὴ ἐκτραπῇς ἔξω τῆς εὐθείας ὁδοῦ, δυσσεβήσεις.

XX. Περὶ δὲ βρωμάτων λέγει σοι ὁ κύριος· Τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, καί· Πᾶν κρέας ἔδεσθε ὡς λάχανα χλόης, τὸ δὲ αἷμα ἐκχεεῖς· οὐ γὰρ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα, λέγω δὴ βλασφημίαι, καταλαλιαὶ καὶ εἴ τι τοιοῦτον. 2. Σὺ δὲ φάγῃ τὸν μυελὸν τῆς γῆς μετὰ δικαιοσύνης· ὅτι εἴ τι καλόν, αὐτοῦ, καὶ εἴ τι ἀγαθόν, αὐτοῦ· σῖτος νεανίσκοις καὶ οἶνος εὐωδιάζων παρθένοις· τίς γὰρ φάγεται ἢ τίς πίεται παρὲξ αὐτοῦ; Παραινεῖ δέ σοι καὶ ὁ σοφὸς Ἔσδρας λέγων· Πορεύεσθε καὶ φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ μὴ λυπεῖσθε.

XXI. Ἀπὸ δὲ τῶν εἰδωλοθύτων φεύγετε· ἐπὶ τιμῇ γὰρ δαιμόνων θύουσι ταῦτα, ἐφ' ὕβρει δηλαδὴ τοῦ μόνου θεοῦ, ὅπως μὴ γένησθε κοινωνοὶ δαιμόνων.

XXII. Περὶ δὲ βαπτίσματος, ὦ ἐπίσκοπε ἢ πρεσβύτερε, ἤδη μὲν καὶ πρότερον διετεξάμεθα, καὶ νῦν δέ φαμεν, ὅτι οὕτω βαπτίσεις, ὡς ὁ κύριος διετάξατο ἡμῖν λέγων· Πορευθέντες μαθητεύσατε

3. 5. *δικαίᾳ : δικαίῳ* Pitra.
XIX. 14. *οὐ γάρ, ἐὰν μὴ ἐκτρ. ἔξω : σὺ γάρ, ἐὰν ἐκτραπῇς* Lagarde — *οὐκ ἐκκλινεῖς*] Deut. 5, 32. Versum Doctrinae sequentem, quo Christianus admonetur, ut totum Domini iugum portet vel saltem faciat, quidquid possit, auctor omisit.

XX, 1. *τὰ ἀγαθὰ κτλ.*] Ies. 1, 19. — *πᾶν κρέας*] Gen. 9, 3. Pseudoignatius Her. 1, 2 similiter hos duos locos et Zach. 9, 7 et Eccles. 2, 25 (v. 2) exhibet. — *τὸ δὲ αἷμα ἐκχ.*] Deut. 15, 23. — *οὐ γὰρ κτλ*] Matth. 15, 11. 19.
2. 23 sq. *παραινεῖ — λυπεῖσθε* om

iniquae, furta, idololatriae, magiae, praestigiae, rapinae, falsa testimonia, simulationes, corda duplicia, dolus, superbia, malitia, pervicacia, avaritia, turpiloquium, zelotypia, feritas, elatio mentis, ostentatio, timoris vacuitas, bonorum vexatio, veritatis odium, mendacii amor, ignorantia iustitiae. 3. Qui enim haec faciunt, non adhaerent bono neque iusto iudicio; vigilant non ad bonum, sed ad malum; a quibus longe est mansuetudo et patientia; qui vana diligunt, consectantur remunerationem, non miserantur pauperem, non dolent de afflicto, non agnoscent creatorem suum, interfectores liberorum, per embryonis caedem corruptores plasmatis Dei, aversantes egenum, opprimentes calamitosum, divitum advocati, pauperum contemptores, omni ex parte peccatores. Liberemini, filii, ab his omnibus.

XIX. Vide, ne quis te faciat aberrare a pietate. *Non declinabis* enim, inquit, *ab ea ad dexteram vel ad sinistram,* ut intellegas in omnibus, quae feceris; nisi enim a via recta deflectas, non eris impius.

XX. De cibis vero tibi ait Dominus: *Bona terra comedetis,* et: *Omnem carnem edetis ut olera herbae; sanguinem vero effundes*; *non* enim *quae intrant in os*, *coinquinant hominem, sed quae ex ore procedunt, blasphemiae,* inquam, obtrectationes, et si quid huiusmodi. 2. Tu vero *comede medullam terrae* in iustitia, *quoniam si quid pulcrum*, *eius est*, *et si quid bonum, eiusdem; frumentum iuvenibus et vinum odoratum virginibus. Quis enim comedet aut quis bibet sine ipso?* Sed et admonet te sapiens Esdras, dicens: *Ite et comedite pinguedines, et bibite dulcedines, et nolite contristari.*

XXI. Porro ab immolatis simulacrorum abstinete; in honorem enim daemonum immolant ea, ad contumeliam scilicet solius Dei, *ne efficiamini participes daemonum.*

XXII. De baptismo autem, episcope vel presbyter, iam quidem antea constituimus; et nunc vero dicimus, quod ita baptizabis, sicut Dominus iniunxit nobis dicens: *Euntes, docete omnes*

Lagarde — *φάγῃ κτλ.*] Gen. 45, 18. — *ὅτι εἴ τι*] Zach. 9, 17. — *τίς γάρ*] Eccles. 2, 25. — *πορεύεσθε*] II Esdr. 8, 10.

XXI. *ἐπὶ τ. γ. δαιμόνων — κοινωνοὶ δαιμ.*] I Cor. 10, 20.

XXII, 1. *πρότερον*] Cf. Constit. apost. II, 7; III, 9—11; 15—18; V,

πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· τοῦ ἀποστείλαντος πατρός, τοῦ ἐλθόντος Χριστοῦ, τοῦ μαρτυρήσαντος παρακλήτου. 2. Χρίσεις δὲ πρῶτον ἐλαίῳ ἁγίῳ, ἔπειτα βαπτίσεις ὕδατι καὶ τὸ τελευταῖον σφραγίσεις μύρῳ, ἵνα τὸ μὲν χρῖσμα μετοχὴ ᾖ τοῦ ἁγίου πνεύματος, τὸ δὲ ὕδωρ σύμβολον τοῦ θανάτου, τὸ δὲ μύρον σφραγὶς τῶν συνθηκῶν. Εἰ δὲ μήτε ἔλαιον ᾖ μήτε μύρον, ἀρκεῖ τὸ ὕδωρ καὶ πρὸς χρῖσιν καὶ πρὸς σφραγῖδα καὶ πρὸς ὁμολογίαν τοῦ ἀποθανόντος ἤτοι συναποθνήσκοντος. 3. Πρὸ δὲ τοῦ βαπτίσματος νηστευσάτω ὁ βαπτιζόμενος· καὶ γὰρ ὁ κύριος πρῶτον βαπτισθεὶς ὑπὸ Ἰωάννου καὶ εἰς τὴν ἔρημον αὐλισθείς, μετέπειτα ἐνήστευσε τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας. 4. Ἐβαπτίσθη δὲ καὶ ἐνήστευσεν, οὐκ αὐτὸς ἀπορυπώσεως ἢ νηστείας χρείαν ἔχων ἢ καθάρσεως, ὁ τῇ φύσει καθαρὸς καὶ ἅγιος, ἀλλ' ἵνα καὶ Ἰωάννῃ ἀλήθειαν προσμαρτυρήσῃ καὶ ἡμῖν ὑπογραμμὸν παράσχηται. 5. Οὐκοῦν ὁ μὲν κύριος οὐκ εἰς ἑαυτοῦ πάθος ἐβαπτίσατο ἢ θάνατον ἢ ἀνάστασιν, οὐδέπω γὰρ οὐδὲν τούτων ἐγεγόνει, ἀλλ' εἰς διάταξιν ἑτέραν, διὸ καὶ ἀπ' ἐξουσίας μετὰ τὸ βάπτισμα νηστεύει ὡς κύριος Ἰωάννου· 6. ὁ δὲ εἰς τὸν αὐτοῦ θάνατον μυούμενος πρότερον ὀφείλει νηστεῦσαι καὶ τότε βαπτίσασθαι, οὐ γὰρ δίκαιον τὸν συνταφέντα καὶ συναναστάντα παρ' αὐτὴν τὴν ἀνάστασιν κατηφεῖν· οὐ γὰρ κύριος ὁ ἄνθρωπος τῆς διατάξεως τῆς τοῦ σωτῆρος, ἐπείπερ ὁ μὲν δεσπότης, ὁ δὲ ὑπήκοος.

XXIII. Αἱ δὲ νηστεῖαι ὑμῶν μὴ ἔστωσαν μετὰ τῶν ὑποκριτῶν, νηστεύουσι γὰρ δευτέρᾳ σαββάτων καὶ πέμπτῃ. Ὑμεῖς δὲ ἢ τὰς πέντε νηστεύσατε ἡμέρας, ἢ τετράδα καὶ παρασκευήν· ὅτι τῇ μὲν τετράδι ἡ κρίσις ἐξῆλθεν ἡ κατὰ τοῦ κυρίου, Ἰούδα χρήμασιν ἐπαγγειλαμένου τὴν προδοσίαν· τὴν δὲ παρασκευήν, ὅτι ἔπαθεν ὁ κύριος ἐν αὐτῇ πάθος τὸ διὰ σταυροῦ ὑπὸ Ποντίου Πιλάτου. 2. Τὸ σάββατον μέντοι καὶ τὴν κυριακὴν ἑορτάζετε, ὅτι τὸ μὲν δημιουργίας ἐστὶν ὑπόμνημα, τὸ δὲ

16. — *πορευθέντες*] Matth. 28, 19.
2. 8. *ἔλαιον ᾖ : ἔλαιον, ἢ* Pitra | *τὸ ὕδωρ : ὕδωρ* Pitra. — De oleo et unguento ad baptismum administrandum adhibendo Doctrina nihil dicit.
3. *ν. ὁ βαπτιζόμενος*] Doctrina 7, 4 baptizantem quoque ieiunare iubet. — *ὁ κύριος*] Cf. Matth. 3, 4.
6. *εἰς τὸν αὐτοῦ θάνατον μ.*] Cf. Rom. 6, 4. — *τὸν συνταφέντα κτλ.*] Cf. Col. 2, 12.
XXIII, 1. *τὰς πέντε ἡμέρας*] scilicet hebdomadis dies praeter sab-

gentes, baptizantes eos in nomine patris et filii et spiritus sancti; *docentes eos servare omnia, quaecumque mandavi vobis:* in nomine patris, qui misit, Christi, qui venit, paracleti, qui testimonium perhibuit. 2. Unges autem prius oleo sancto, deinde baptizabis aqua; et tandem signabis unguento, ut oleum quidem sit participatio spiritus sancti, aqua vero symbolum mortis, unguentum autem sigillum pactionum. Quodsi neque oleum adsit neque unguentum, sufficit aqua et ad unctionem et ad sigillum et ad confessionem morientis seu commorientis. 3. Ante autem baptisma ieiunet, qui baptizatur; etenim Dominus primum a Ioanne baptizatus et in deserto commoratus, postea ieiunavit quadraginta diebus et quadraginta noctibus. 4. Baptizatus autem fuit ac ieiunavit, non quod ipse opus haberet ablutione sordium vel ieiunio vel purgatione, qui natura purus et sanctus est, sed ut Ioanni veritatem attestaretur et nobis exemplum praeberet. 5. Igitur Dominus non quidem baptizatus est in passionem suam vel mortem vel resurrectionem; nondum enim quidpiam horum acciderat, sed in aliam ordinationem, quapropter ex potestate ieiunat post baptisma ut dominus Ioannis; 6. qui vero in mortem illius per baptismum initiatur, debet prius ieiunare et tum baptizari. Aequum quippe non est, ut is, qui consepultus est et consurrexit, sub ipsam resurrectionem maereat. Non enim homo constitutionis ad servatorem pertinentis dominus est: quandoquidem hic dominus est, ille vero subiectus.

XXIII. Ieiunia vero vestra ne sint cum hypocritis; ieiunant enim secunda et quinta sabbatorum. Vos vero aut quinque diebus ieiunanto aut quarta feria et parasceve: quoniam quarto quidem hebdomadis die iudicium Dominum condemnans prodiit, cum Iudas pecunia proditionem esset pollicitus; parasceve autem, quia eo die Dominus mortem crucis passus est sub Pontio Pilato. 2. Atqui sabbatum et dominicam festos dies habete, quia illud quidem creationis recordatio est, hoc vero resurrectionis. 3. Unum

batum ac dominicam. Similiter Augustinus Ep. 36 n. 8 ad Casul. multos, praesertim monachos, quinquies in hebdomade ieiunare dicit. Basilius M. Hom. de ieiun. I, 7 πενθημέρους σπουδὰς commemorans non cuiuslibet hebdomadis, sed Quadragesimae dies designare videtur.

2. 31. τὸ δέ: ἡ δέ Pitra. — Pseudoignatius Philipp. 13, 3 non tam sab-

ἀναστάσεως. 3. Ἓν δὲ μόνον σάββατον ὑμῖν φυλακτέον ἐν ὅλῳ τῷ ἐνιαυτῷ, τὸ τῆς τοῦ κυρίου ταφῆς, ὅπερ νηστεύειν προσῆκεν, ἀλλ' οὐχ ἑορτάζειν· ἐν ὅσῳ γὰρ ὁ δημιουργὸς ὑπὸ γῆν τυγχάνει, ἰσχυρότερον τὸ περὶ αὐτοῦ πένθος τῆς κατὰ τὴν δημιουργίαν χαρᾶς, ὅτι ὁ δημιουργὸς τῶν ἑαυτοῦ δημιουργημάτων φύσει τε καὶ ἀξίᾳ τιμιώτερος.

XXIV. Ὅταν δὲ προσεύχησθε, μὴ γίνεσθε ὡς οἱ ὑποκριταί, ἀλλ' ὡς ὁ κύριος ἡμῖν ἐν τῷ εὐαγγελίῳ διετάξατο, οὕτω προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. 2. Τρὶς τῆς ἡμέρας οὕτω προσεύχεσθε, προπαρασκευάζοντες ἑαυτοὺς ἀξίους τῆς υἱοθεσίας τοῦ πατρός, ἵνα μὴ ἀναξίως ὑμῶν αὐτὸν πατέρα καλούντων ὀνειδισθῆτε ὑπ' αὐτοῦ, ὡς καὶ ὁ Ἰσραὴλ ὅ ποτε πρωτότοκος υἱὸς ἤκουσεν, ὅτι Εἰ πατήρ εἰμι ἐγώ, ποῦ ἔστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι, ποῦ ἔστιν ὁ φόβος μου; 3. Δόξα γὰρ πατέρων ὁσιότης παίδων καὶ τιμὴ δεσποτῶν οἰκετῶν φόβος, ὥσπερ οὖν τὸ ἐναντίον ἀδοξία καὶ ἀναρχία· Δι' ὑμᾶς γάρ, φησί, τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι.

XXV. Γίνεσθε δὲ πάντοτε εὐχάριστοι, ὡς πιστοὶ καὶ εὐγνώμονες δοῦλοι, περὶ μὲν τῆς εὐχαριστίας οὕτω λέγοντες· 2. Εὐχαριστοῦμέν σοι, πάτερ ἡμῶν, ὑπὲρ ζωῆς ἧς ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου, δι' οὗ καὶ τὰ πάντα ἐποίησας καὶ τῶν ὅλων προνοεῖς, ὃν καὶ ἀπέστειλας ἐπὶ σωτηρίᾳ τῇ ἡμετέρᾳ γενέσθαι ἄνθρωπον, ὃν καὶ συνεχώρησας παθεῖν καὶ ἀποθανεῖν, ὃν καὶ ἀναστήσας εὐδόκησας δοξάσαι καὶ ἐκάθισας ἐκ δεξιῶν σου, δι' οὗ καὶ ἐπηγγείλω ἡμῖν τὴν ἀνάστασιν τῶν νεκρῶν. 3. Σύ, δέσποτα παντοκράτορ, θεὲ αἰώνιε, ὥσπερ ἦν τοῦτο διεσκορπισμένον καὶ συναχθὲν ἐγένετο εἷς ἄρτος, οὕτω συνάγαγέ σου τὴν ἐκκλησίαν ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν σὴν βασιλείαν. 4. Ἔτι εὐχαριστοῦμεν, πάτερ ἡμῶν, ὑπὲρ τοῦ τιμίου αἵματος Ἰησοῦ Χριστοῦ τοῦ ἐκχυθέντος ὑπὲρ ἡμῶν καὶ τοῦ τιμίου σώματος, οὗ καὶ ἀντίτυπα

batum et dominicam dies festos haberi iubet, quam condemnat eos, qui diebus illis ieiunant, uno sabbato excepto.

XXIV, 1. 13. *καὶ ἡ δ. καὶ ἡ δόξα*] om Pitra.

vero dumtaxat sabbatum vobis observandum est in toto anno, illud, quo Dominus sepultus fuit, quo ieiunare decuit, non autem festum agere. Quamdiu enim creator sub terra degit, plus valet luctus de eo susceptus quam laetitia de creatione, quoniam creator creaturis suis natura ac dignitate praestat.

XXIV. Cum autem oraveritis, ne sitis quemadmodum hypocritae; sed sicut Dominus nobis in Evangelio praecepit, ita orate: Pater noster, qui es in caelis, sanctificetur nomen tuum; adveniat regnum tuum; fiat voluntas tua sicut in caelo et in terra; panem nostrum cotidianum da nobis hodie; et dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris, et ne nos inducas in tentationem, sed libera nos a malo, quia tuum est regnum et virtus et gloria in saecula. Amen. 2. Ter in die sic orate, et praeparate vos, ut sitis digni adoptione patris, ne, si eum indigne patrem appelletis, probrum ab eo referatis, sicut et Israël, qui olim erat primogenitus filius, audivit: *Si pater ego sum, ubi est honor meus, et si Dominus sum, ubi est timor meus?* 3. Gloria enim patrum est sanctitas filiorum, et honor herorum famulorum metus, quemadmodum utique quod contrarium est, despectio et imperii abiectio censetur. *Propter vos* enim, inquit, *nomen meum blasphematur in gentibus.*

XXV. Estote autem semper ad gratias agendas intenti, ut fideles et grati servi, de eucharistia quidem ita dicentes: 2. Gratias agimus tibi, pater noster, pro vita, quam manifestasti nobis per Iesum filium tuum, per quem tum omnia creasti, tum universis provides, quem et misisti, ut ad salutem nostram homo fieret; quem etiam permisisti pati et mori; quem et resuscitans glorificare voluisti, et sedere fecisti ad dexteram tuam, per quem et promisisti nobis resurrectionem mortuorum. 3. Tu, Domine omnipotens, Deus aeterne: quemadmodum hoc erat dispersum et cum fuit congregatum, factus est unus panis, ita congrega ecclesiam tuam a finibus terrae in regnum tuum. 4. Adhuc gratias agimus, pater noster, pro pretioso sanguine Iesu Christi, qui effusus est nostra causa, et pro pretioso corpore, cuius et

2. εἰ πατὴρ κτλ.] Malach. 1, 6.
3. δι' ὑμᾶς] Ies. 52, 5.
XXV, 1. δι' οὗ — προνοεῖς] Eadem verba habet Pseudoignatius Philad. 9, 2.

ταῦτα ἐπιτελοῦμεν, αὐτοῦ διαταξαμένου ἡμῖν καταγγέλλειν τὸν αὐτοῦ θάνατον· δι᾽ αὐτοῦ γάρ σοι καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν. 5. Μηδεὶς δὲ ἐσθιέτω ἐξ αὐτῶν τῶν ἀμυήτων, ἀλλὰ μόνοι οἱ βεβαπτισμένοι εἰς τὸν τοῦ κυρίου θάνατον. 6. Εἰ δέ τις ἀμύητος κρύψας ἑαυτὸν μεταλάβῃ, κρίμα αἰώνιον φάγεται, ὅτι μὴ ὢν τῆς εἰς Χριστὸν πίστεως μετέλαβεν ὧν οὐ θέμις, εἰς τιμωρίαν ἑαυτοῦ· εἰ δέ τις κατὰ ἄγνοιαν μεταλάβοι, τοῦτον τάχιον στοιχειώσαντες μυήσατε, ὅπως μὴ καταφρονητὴς ἐξέλθοι.

XXVI. Μετὰ δὲ τὴν μετάληψιν οὕτως εὐχαριστήσατε· 2. Εὐχαριστοῦμέν σοι, ὁ θεὸς καὶ πατὴρ Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν, ὑπὲρ τοῦ ἁγίου ὀνόματός σου οὗ κατεσκήνωσας ἐν ἡμῖν, καὶ ὑπὲρ τῆς γνώσεως καὶ πίστεως καὶ ἀγάπης καὶ ἀθανασίας ἧς ἔδωκας ἡμῖν διὰ Ἰησοῦ τοῦ παιδός σου. 3. Σύ, δέσποτα παντοκράτορ, ὁ θεὸς τῶν ὅλων, ὁ κτίσας τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ δι᾽ αὐτοῦ, καὶ νόμον κατεφύτευσας ἐν ταῖς ψυχαῖς ἡμῶν καὶ τὰ πρὸς μετάληψιν προευτρέπισας ἀνθρώποις· ὁ θεὸς τῶν ἁγίων καὶ ἀμέμπτων πατέρων ἡμῶν, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν πιστῶν δούλων σου· ὁ δυνατὸς θεός, ὁ πιστὸς καὶ ἀληθινὸς καὶ ἀψευδὴς ἐν ταῖς ἐπαγγελίαις· ὁ ἀποστείλας ἐπὶ γῆς Ἰησοῦν τὸν Χριστόν σου ἀνθρώποις συναναστραφῆναι ὡς ἄνθρωπον, θεὸν ὄντα λόγον καὶ ἄνθρωπον, καὶ τὴν πλάνην πρόρριζον ἀνελεῖν· 4. αὐτὸς καὶ νῦν δι᾽ αὐτοῦ μνήσθητι τῆς ἁγίας σου ἐκκλησίας ταύτης, ἣν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, καὶ ῥῦσαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ καὶ τελείωσον αὐτὴν ἐν τῇ ἀγάπῃ σου καὶ τῇ ἀληθείᾳ σου, καὶ συνάγαγε πάντας ἡμᾶς εἰς τὴν σὴν βασιλείαν, ἣν ἡτοίμασας αὐτῇ. 5. Μαρὰν ἀθά· ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, θεὸς κύριος ὁ ἐπιφανεὶς ἡμῖν ἐν σαρκί. 6. Εἴ τις ἅγιος, προσερχέσθω· εἰ δέ τις οὐκ ἔστι, γινέσθω διὰ μετανοίας. Ἐπιτρέπετε δὲ καὶ τοῖς πρεσβυτέροις ὑμῶν εὐχαριστεῖν.

XXVII. Περὶ δὲ τοῦ μύρου οὕτως εὐχαριστήσατε· Εὐχαριστοῦμέν σοι, θεὲ δημιουργὲ τῶν ὅλων, καὶ ὑπὲρ τῆς εὐωδίας τοῦ μύρου καὶ ὑπὲρ τοῦ ἀθανάτου αἰῶνος οὗ ἐγνώρισας ἡμῖν διὰ Ἰησοῦ

4. *καταγγέλλειν — θάνατον*] I Cor. 11, 26.
6. *κρίμα αἰ. φάγεται*] I Cor. 11, 29.
XXVI, 1. 10 sq. *ὀνόματός σου* om Pitra.

2. *ὁ θεὸς τῶν ὅλων*] Sic Deus pater in Constitutionibus apostolorum saepius vocatur. Cf. V, 7 extr.; VI, 7 init.; VII, 38. 39. 43. 44; VIII, 9. 10.
4. 24. *αὐτῇ : αὐτήν* Pitra.

haec antitypa celebramus, cum ipse nobis constituerit *mortem illius annuntiare;* per ipsum enim tibi etiam gloria in saecula. Amen. 5. Nullus porro eorum, qui initiati non sunt, ex eis comedat; sed soli ei, qui baptizati fuerunt in Domini mortem. 6. Si quis vero non initiatus celaverit se ipsum et sic communicaverit, *iudicium manducat* aeternum, quod non addictus fidei in Christum sumpsit, quae fas non erat, in supplicium suum. Si quis autem per ignorantiam participaverit, hunc cito instruite ac baptismo initiate, ne contemptor exeat.

XXVI. Post communionem vero sic gratias agite: 2. Gratias agimus tibi, Deus et pater Iesu salvatoris nostri, pro sancto nomine tuo, quod habitare fecisti in nobis, et pro cognitione et fide et caritate et immortalitate, quae dedisti nobis per Iesum Christum filium tuum. 3. Tu, Domine omnipotens, Deus universorum, qui creasti mundum et quae sunt in eo per ipsum, et legem inseruisti in animabus nostris, et victui accommoda praeparasti hominibus; Deus sanctorum et inculpatorum patrum nostrorum, Abraham et Isaac et Iacob, fidelium servorum tuorum, Deus potens, fidelis et verax et in promissis non mendax, qui misisti in terram Iesum Christum tuum, ut cum hominibus conversaretur tamquam homo, cum sit et Deus verbum et homo, et errorem radicitus evelleret; 4. ipse et nunc per eum memento huiusce sanctae ecclesiae tuae, quam acquisisti pretioso sanguine Christi tui; atque eam ab omni malo libera, et perfice illam in caritate tua et veritate tua, et nos omnes congrega in regnum tuum, quod praeparasti ei. 5. Maran atha. Hosanna filio David. *Benedictus, qui venit in nomine Domini*, Deus Dominus, qui apparuit nobis in carne. 6. Si quis sanctus est, accedat; si quis vero talis non est, fiat per paenitentiam. Committite autem et presbyteris vestris, ut gratias agant.

XXVII. Pro unguento autem hunc in modum gratias agite: Gratias agimus tibi, Deus creator omnium, etiam pro fragrantia unguenti et pro immortali saeculo, quod notificasti nobis per

5. *εὐλογημένος*] Matth. 21, 9.

6. *πρεσβυτέροις*] i. e. presbyteris, non solum episcopo. Doctrina 10, 7 prophetas gratias agere sinit, quantas velint.

XXVII, 1. *περὶ τ. μύρου*] Doctrina nihil dicit.

τοῦ παιδός σου· ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας· ἀμήν.

2. Ὃς ἐὰν ἐλθὼν οὕτως εὐχαριστῇ, προσδέξασθε αὐτὸν ὡς Χριστοῦ μαθητήν· ἐὰν δὲ ἄλλην διδαχὴν κηρύσσῃ παρ' ἣν ὑμῖν παρέδωκεν ὁ Χριστὸς δι' ἡμῶν, τῷ τοιούτῳ μὴ συγχωρεῖτε εὐχαριστεῖν· ὑβρίζει γὰρ ὁ τοιοῦτος τὸν θεόν, ἤπερ δοξάζει.

XXVIII. Πᾶς δὲ ὁ ἐρχόμενος πρὸς ὑμᾶς, δοκιμασθείς, οὕτω δεχέσθω· σύνεσιν γὰρ ἔχετε, καὶ δύνασθε γνῶναι δεξιὰν ἢ ἀριστερὰν καὶ διακρῖναι ψευδοδιδασκάλους διδασκάλων. 2. Ἐλθόντι μέντοι τῷ διδασκάλῳ ἐκ ψυχῆς ἐπιχορηγήσατε τὰ δέοντα· τῷ δὲ ψευδοδιδασκάλῳ δώσετε μὲν τὰ πρὸς χρείαν, οὐ παραδέξεσθε δὲ αὐτοῦ τὴν πλάνην οὔτε μὴν συμπροσεύξησθε αὐτῷ, ἵνα μὴ συμμιανθῆτε αὐτῷ. 3. Πᾶς προφήτης ἀληθινὸς ἢ διδάσκαλος ἐρχόμενος πρὸς ὑμᾶς ἄξιός ἐστι τῆς τροφῆς ὡς ἐργάτης λόγου δικαιοσύνης.

XXIX. Πᾶσαν ἀπαρχὴν γεννημάτων ληνοῦ, ἅλωνος βοῶν τε καὶ προβάτων δώσεις τοῖς ἱερεῦσιν, ἵνα εὐλογηθῶσιν αἱ ἀποθῆκαι τῶν ταμείων σου καὶ τὰ ἐκφόρια τῆς γῆς σου, καὶ στηριχθῇς σίτῳ καὶ οἴνῳ καὶ ἐλαίῳ, καὶ αὐξηθῇ τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου· πᾶσαν δεκάτην δώσεις τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ. 2. Πᾶσαν ἀπαρχὴν ἄρτων θερμῶν, κεραμίου οἴνου ἢ ἐλαίου ἢ μέλιτος ἢ ἀκροδρύων, σταφυλῆς ἢ τῶν ἄλλων τὴν ἀπαρχὴν δώσεις τοῖς ἱερεῦσιν· ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ.

XXX. Τὴν ἀναστάσιμον τοῦ κυρίου ἡμέραν, τὴν κυριακήν φαμεν, συνέρχεσθε ἀδιαλείπτως, εὐχαριστοῦντες τῷ θεῷ καὶ ἐξομολογούμενοι ἐφ' οἷς εὐηργέτησεν ἡμᾶς ὁ θεὸς διὰ Χριστοῦ, ῥυσάμενος ἀγνοίας, πλάνης, δεσμῶν· 2. ὅπως ἄμεμπτος ᾖ ἡ θυσία ὑμῶν καὶ εὐανάφορος θεῷ, τῷ εἰπόντι περὶ τῆς οἰκουμενικῆς αὐτοῦ ἐκκλησίας, ὅτι Ἐν παντὶ τόπῳ μοι προσενεχθήσεται θυμίαμα καὶ θυσία καθαρά· ὅτι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσιν.

XXXI. Προχειρίσασθε δὲ ἐπισκόπους ἀξίους τοῦ κυρίου καὶ πρεσβυτέρους καὶ διακόνους, ἄνδρας εὐλαβεῖς, δικαίους, πραεῖς, ἀφιλαργύρους,

2. Post hunc versum Doctrina 11, 3—12 de apostolis suscipiendis et prophetis diiudicandis agit. Auctor sectionem totam velut pro ratione temporis supervacaneam praetermisit. Uno tantum verbo XXVIII, 3 prophetam respicit, Doctrinam 13, 1 repetens.

XXVIII. Cf. Doctrina 12, 1; 13, 1—2.

XXIX, 1. *τ. ἱερεῦσιν*] *τοῖς προφή-*

Iesum filium tuum, quoniam ad te pertinet gloria et potestas in saecula. Amen.

2. Qui accedens hoc modo gratias egerit, recipite illum ut discipulum Christi; sin vero aliam doctrinam praedicet praeter eam, quam vobis per nos Christus tradidit, huic ne permittatis gratias agere; is enim contumelia afficit Deum potius quam honorat.

XXVIII. Quicumque vero ad vos venit, probetur et sic admittatur: intellegentiam enim habetis, et potestis agnoscere dexteram vel sinistram atque discernere falsos doctores a doctoribus. 2. Venienti sane doctori ex animo suppeditate necessaria; falso autem doctori tribuetis quidem, quae opus sunt; at non recipietis errorem illius neque etiam una cum eo oretis, ne eius societate inquinemini. 4. Omnis propheta verus vel magister, qui venit ad vos, dignus est cibo ut operarius sermonis iustitiae.

XXIX. Omnes primitias provenientes e torculari, area et bobus atque ovibus, dabis sacerdotibus, ut *benedicantur reposita* in cellariis tuis et *fructus terrae tuae, utque innitaris frumento et vino et oleo, augeanturque armenta boum tuorum et greges ovium tuarum;* omnem decimam dabis pupillo ac viduae, pauperi et advenae. 2. Omnes primitias panum calidorum, urcei vini vel olei vel mellis vel fructuum arborum, uvae vel aliarum rerum primitias dabis sacerdotibus, argenti vero et vestimenti omnisque possessionis orphano ac viduae.

XXX. Die resurrectionis Domini, hoc est, dominica, convenite assidue, gratias agentes Deo et confitentes de beneficiis, quae in vos contulit Deus per Christum, liberans ab ignorantia, errore, vinculis, 2. ut sacrificium vestrum sit irreprehensum et Deo acceptum, qui dixit de ecclesia sua oecumenica: In omni loco mihi offeretur incensum et sacrificium mundum; quia rex magnus ego sum, dicit Dominus omnipotens, et nomen meum admirabile in gentibus.

XXXI. Eligite autem episcopos dignos Domino, et presbyteros ac diaconos, viros pios, iustos, mites, non avaros, amantes

ταις Doctr. 13, 3. — εὐλογ. αἱ ἀποθῆκαι κτλ.] Deut. 7, 13; 28, 4. 5. | Gen. 27, 37. XXX. Cf. Doctr. 14.

φιλαλήθεις, δεδοκιμασμένους, ὁσίους ἀπροσωπολήπτους, δυναμένους διδάσκειν τὸν λόγον τῆς εὐσεβείας ὀρθοτομοῦντας ἐν τοῖς τοῦ κυρίου δόγμασιν. 2. Ὑμεῖς δὲ τιμᾶτε τούτους ὡς πατέρας, ὡς κυρίους, ὡς εὐεργέτας, ὡς τοῦ εὖ εἶναι αἰτίους.

3. Ἐλέγχετε δὲ ἀλλήλους, μὴ ἐν ὀργῇ, ἀλλ' ἐν μακροθυμίᾳ μετὰ χρηστότητος καὶ εἰρήνης 4. Πάντα τὰ προστεταγμένα ὑμῖν ὑπὸ τοῦ κυρίου φυλάξατε. 5. Γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν. Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἥξει, ἑσπέρας ἢ πρωὶ ἢ ἀλεκτοροφωνίας ἢ μεσονυκτίου· ᾗ γὰρ ὥρᾳ οὐ προσδοκῶσιν, ἐλεύσεται ὁ κύριος, καὶ ἐὰν αὐτῷ ἀνοίξωσι, μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, ὅτι εὑρέθησαν γρηγοροῦντες· ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ παρελθὼν διακονήσει αὐτοῖς. 6. Νήφετε οὖν καὶ προσεύχεσθε μὴ ὑπνῶσαι εἰς θάνατον· οὐ γὰρ ὀνήσει ὑμᾶς τὰ πρότερα κατορθώματα, ἐὰν εἰς τὰ ἔσχατα ὑμῶν ἀποπλανηθῆτε τῆς πίστεως τῆς ἀληθοῦς.

XXXII. Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται καὶ οἱ φθορεῖς τοῦ λόγου, καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους καὶ ἡ ἀγάπη εἰς μῖσος· πληθυνθείσης γὰρ τῆς ἀνομίας ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν, μισήσουσι γὰρ ἀλλήλους οἱ ἄνθρωποι καὶ διώξουσι καὶ προδώσουσι. 2. Καὶ τότε φανήσεται ὁ κοσμοπλάνος, ὁ τῆς ἀληθείας ἐχθρός, ὁ τοῦ ψεύδους προστάτης, ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ ὁ διὰ χειλέων ἀναιρῶν ἀσεβῆ· καὶ πολλοὶ σκανδαλισθήσονται ἐπ' αὐτῷ, οἱ δὲ ὑπομείναντες εἰς τέλος, οὗτοι σωθήσονται. 3. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, εἶτα φωνὴ σάλπιγγος ἔσται δι' ἀρχαγγέλου καὶ μεταξὺ ἀναβίωσις τῶν κεκοιμημένων· 4. καὶ τότε ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ ἐν συσσεισμῷ ἐπάνω τῶν νεφελῶν μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐπὶ θρόνου βασιλείας, κατακρῖναι τὸν κοσμοπλάνον διάβολον καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. 5. Τότε ἀπελεύσονται οἱ μὲν πονηροὶ εἰς αἰώνιον κόλασιν, οἱ δὲ δίκαιοι πορεύσονται εἰς ζωὴν αἰώνιον, κληρονομοῦντες ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· καὶ χαρήσονται ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ τῇ ἐν Χριστῷ Ἰησοῦ.

XXXI, 1. *τ. λόγον κτλ.*] II Tim. 2, 15.

5. *ἔστωσαν κτλ.*] Auctor Luc. 12, 35—37 et Marc. 13, 35 in unum conflavit.

6. *νήφετε κ. προσεύχεσθε*] Cf. Matth.

veritatis, probatos, sanctos, non acceptores personarum, qui valeant docere *sermonem pietatis recte tractantes* in dogmatibus Domini. 2. Vos vero hos honorate ut patres, ut dominos, ut beneficos, ut auctores quod bene estis.

3. Arguite etiam vos mutuo, non in ira, sed in aequanimitate, cum benignitate ac pace. 4. Omnia vobis a Domino praecepta servate. 5. Vigilate pro vita vestra. *Sint lumbi vestri praecincti et lucernae ardentes, et vos similes hominibus exspectantibus dominum suum, quando veniet, vespere vel mane vel galli cantu vel media nocte;* qua enim hora non exspectant, veniet Dominus, *et ei si aperuerint, beati servi illi, quia inventi sunt vigilantes, quoniam praecinget se et faciet illos discumbere et transiens ministrabit illis.* 6. *Vigilate igitur et orate,* ne dormiatis in mortem; non enim iuvabunt vos priora recte facta, si in extremis vestris a fide vera aberraveritis.

XXXII. In ultimis enim diebus multiplicabuntur falsi prophetae et corruptores sermonis, et convertentur oves in lupos et caritas in odium; nam multiplicata iniquitate refrigescet caritas multorum; homines enim se invicem odio habebunt et persequentur et prodent. 2. Ac tunc apparebit orbis deceptor, inimicus veritatis; propugnator mendacii, quem *spiritu oris sui interficiet* Dominus Iesus, qui *per labia interimet impium.* Et multi scandalum patientur in eo; *qui autem perseveraverint usque in finem, hi salvi erunt.* 3. Tuncque apparebit signum filii hominis in caelo, deinde vox tubae erit *per archangelum* et interea reviviscent, qui dormierunt; 4. et tunc veniet Dominus ac omnes sancti cum eo in terrae motu super nubes *cum angelis* virtutis suae in solio regni, ut condemnet orbis deceptorem diabolum *et reddat unicuique secundum opera eius.* 5. *Tunc abibunt mali quidem in aeternum supplicium, iusti autem ibunt in vitam aeternam,* hereditatem adeuntes eorum, *quae oculus non vidit et auris non audivit, et in cor hominis non ascenderunt, quae praeparavit Deus eis, qui diligunt illum;* et gaudebunt in regno Dei, quod est in Christo Iesu.

26, 41. Marc. 14, 38.
XXX, 2. ἀνελεῖ κτλ.] Ies. 11, 4. — οἱ δὲ ὑπομείναντες] Matth. 24, 13.
4. καὶ ἀποδοῦναι] Matth. 16, 27.
5. τότε ἀπελεύσονται] Matth. 25, 46. — ἃ ὀφθαλμός] I Cor. 2, 9.

BARNABAE
EXPOSITIO DUARUM VIARUM.

XVIII. Μεταβῶμεν δὲ καὶ ἐπὶ ἑτέραν γνῶσιν *καὶ διδαχήν*. *Ὁδοὶ δύο εἰσὶν* διδαχῆς καὶ ἐξουσίας, ἥ τε τοῦ φωτὸς καὶ ἡ τοῦ σκότους. *Διαφορὰ δὲ πολλὴ τῶν δύο ὁδῶν*. Ἐφ' ἧς μὲν γάρ εἰσιν τεταγμένοι φωταγωγοὶ ἄγγελοι τοῦ θεοῦ, ἐφ' ἧς δὲ ἄγγελοι τοῦ σατανᾶ. 2. Καὶ ὁ μέν ἐστιν κύριος ἀπ' αἰώνων καὶ εἰς τοὺς αἰῶνας, ὁ δὲ ἄρχων καιροῦ τοῦ νῦν τῆς ἀνομίας.

XIX. *Ἡ οὖν ὁδὸς* τοῦ φωτός *ἐστιν αὕτη*· ἐάν τις θέλων ὁδὸν ὁδεύειν ἐπὶ τὸν ὡρισμένον τόπον, σπεύσῃ τοῖς ἔργοις αὐτοῦ. Ἔστιν οὖν ἡ δοθεῖσα ἡμῖν γνῶσις τοῦ περιπατεῖν ἐν αὐτῇ τοιαύτη. 2. *Ἀγαπήσεις τόν σε ποιήσαντα*, φοβηθήσῃ τόν σε πλάσαντα, δοξάσεις τόν σε λυτρωσάμενον ἐκ θανάτου· ἔσῃ ἁπλοῦς τῇ καρδίᾳ καὶ πλούσιος τῷ πνεύματι· οὐ κολληθήσῃ μετὰ τῶν πορευομένων ἐν ὁδῷ θανάτου, *μισήσεις πᾶν, ὃ οὐκ ἔστιν ἀρεστὸν τῷ θεῷ*,

XVIII, 1. Vocem *διδαχήν* characteribus mutatis dedi, quia Barnabas eam e fonte suo vel inscriptione Doctrinae apostolorum deprompsisse videtur. Epistulae Barnabae enim capita XVIII—XX recudens ea, quae in hac scriptura leguntur ex eaque repetenda sunt, litteris obliquis expressi. — *ὁδοὶ δύο κτλ.*] Cf. D (Doctrina apost.) 1, 1. — *φωτὸς καὶ σκότους*] Hae voces, quas Barnabas vocibus *ζωῆς καὶ θανάτου* substituit, in S. Scriptura et praesertim in scripturis S. Ioannis saepe leguntur. Cf. Iob. 12, 25. Ioann. 1, 4—9; 3, 19. II Cor. 6, 14. I Ioann. 1, 5—7.

XIX, 1. Cf. D 1, 2.

2. *ἀγαπήσεις κτλ.*] D 1, 2. Barnabas *τὸν θεόν* post *ἀγαπήσεις* delevit, plura autem addidit. — *φοβηθήσῃ . . δοξάσεις*] Sirach verbis 7, 30 *ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς* 7, 31 confestim addit: *φοβοῦ τὸν κύριον, καὶ δόξασον ἱερέα.* — *ἁπλοῦς τ. κ.*] Eph. 6, 5 et Col. 3, 22 *ἁπλότης τῆς καρδίας* commemoratur. — *πλούσιος τ. πν.*] Matth. 5, 3 praedicantur *οἱ πτωχοὶ τῷ πνεύματι.* — *μισήσεις κτλ.*] D 4, 12. Barnabas

μισήσεις πᾶσαν ὑπόκρισιν· οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου. 3. *Οὐχ ὑψώσεις σεαυτόν,* ἔσῃ δὲ ταπεινόφρων κατὰ πάντα· οὐκ ἀρεῖς ἐπὶ σεαυτὸν δόξαν. *Οὐ λήψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου· οὐ δώσεις τῇ ψυχῇ σου θράσος.* 4. *Οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις.* Οὐ μή σου ὁ λόγος τοῦ θεοῦ ἐξέλθῃ ἐν ἀκαθαρσίᾳ τινῶν. *Οὐ λήψῃ πρόσωπον ἐλέγξαι τινὰ ἐπὶ παραπτώματι. Ἔσῃ πραΰς, ἔσῃ ἡσύχιος, ἔσῃ τρέμων τοὺς λόγους, οὓς ἤκουσας. Οὐ μνησικακήσεις* τῷ ἀδελφῷ σου. 5. *Οὐ μὴ διψυχήσῃς, πότερον ἔσται ἢ οὔ.* Οὐ μὴ λάβῃς ἐπὶ ματαίῳ τὸ ὄνομα κυρίου. *Ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυχήν σου. Οὐ φονεύσεις τέκνον ἐν φθορᾷ, οὐδὲ* πάλιν *γεννηθὲν ἀποκτενεῖς. Οὐ μὴ ἄρῃς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου, ἀλλὰ ἀπὸ νεότητος διδάξεις φόβον κυρίου.* 6. *Οὐ* μὴ γένῃ *ἐπιθυμῶν τὰ τοῦ πλησίον* σου, *οὐ μὴ γένῃ πλεονέκτης· οὐδὲ κολληθήσῃ ἐκ ψυχῆς σου μετὰ ὑψηλῶν, ἀλλὰ μετὰ ταπεινῶν καὶ δικαίων ἀναστραφήσῃ. Τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ, εἰδώς, ὅτι ἄνευ θεοῦ οὐδὲν γίνεται.* 7. *Οὐκ ἔσῃ διγνώμων οὐδὲ δίγλωσσος· παγὶς γὰρ θανάτου* ἐστὶν *ἡ διγλωσσία. Ὑποταγήσῃ κυρίοις ὡς τύπῳ*

membra invertit, pro *κυρίῳ* posuit *θεῷ, μισήσεις* iteravit. — *οὐ μὴ ἐγκαταλίπῃς κτλ.*] D 4, 13.

3. *οὐχ ὑψ. σ.*] D 3, 9. — *οὐ λήψῃ κτλ.*] D 2, 6. — *οὐ δώσεις*] D 3, 9. Barnabas in hoc versu inter sententias Doctrinae duas inter se coniunctas similesque tertiam eamque dissimilem et ex alio loco desumptam inseruit; primam sententiam insuper amplificavit. Doctrina ergo ordinem sententiarum magis consentaneum habet.

4. *οὐ πορνεύσεις κτλ.*] D 2, 2, ubi autem membrorum ordo alius est. — *οὐ λήψῃ*] D 4, 3. — *ἔσῃ πραΰς κτλ.*] D 3, 7. 8. Barnabas hunc locum repetens plura omisit. — *οὐ μνησικακήσεις*] D 2, 3. Ut notae indicant, Barnabas hunc versum ex quattuor Doctrinae locis compilavit.

5. *οὐ μὴ διψυχήσῃς*] D 4, 4. Barnabas hic et pluribus aliis locis, scilicet etiam in hoc versu (*οὐ μὴ ἄρῃς*) et in versibus 6 et 7, *οὐ μὴ* scribit pro *οὐ*. — *οὐ μὴ λάβῃς*] Exod. 20, 7. Deut. 5, 11. — *ἀγαπήσεις*] Barnabas hic D 1, 2 et 2, 7 in unum conflavit et sententiam Doctrinae mutavit, quae hominem non in universum admonet, ut proximum plus amet quam animam suam, sed loco principali de amore proximi verba Evangelii reddit. — *οὐ φονεύσεις*] D 2, 2. — *οὐ μὴ ἄρῃς*] D 4, 9.

6. *οὐ μὴ κτλ.*] D 2, 2. 6. — *οὐδὲ κολληθήσῃ*] D 3, 9 (*οὐ κολληθήσεται ἡ ψυχή σου κτλ.*). — *τὰ συμβαίνοντά σοι*] D 3, 10.

7. *οὐκ ἔσῃ*] D 2, 4. — *ὑποταγήσῃ*] D 4, 11. In Doctrina versus sic incipit: *ὑμεῖς δὲ οἱ δοῦλοι ὑποταγήσεσθε,* ita ut vox *κύριος* omnem hominem significet, qui servorum potestatem

θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ· οὐ μὴ ἐπιτάξῃς δούλῳ σου ἢ παιδίσκῃ ἐν πικρίᾳ, τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν ἐλπίζουσιν, μή ποτε οὐ μὴ φοβηθήσονται τὸν ἐπ' ἀμφοτέροις θεόν· ὅτι ἦλθεν οὐ κατὰ πρόσωπον καλέσαι, ἀλλ' ἐφ' οὓς τὸ πνεῦμα ἡτοίμασεν. 8. *Κοινωνήσεις ἐν πᾶσιν τῷ* πλησίον *σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ* ἀφθάρτῳ *κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς* φθαρτοῖς; Οὐκ ἔσῃ πρόγλωσσος· παγὶς γὰρ στόμα θανάτου. Ὅσον δύνασαι, ὑπὲρ τῆς ψυχῆς σου ἁγνεύσεις. 9. *Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν.* Ἀγαπήσεις ὡς κόρην τοῦ ὀφθαλμοῦ σου πάντα *τὸν λαλοῦντά σοι τὸν λόγον* κυρίου. 10. *Μνησθήσῃ* ἡμέραν κρίσεως *νυκτὸς καὶ ἡμέρας καὶ ἐκζητήσεις καθ' ἑκάστην ἡμέραν τὰ πρόσωπα τῶν ἁγίων*, ἢ διὰ λόγου κοπιῶν καὶ πορευόμενος εἰς τὸ παρακαλέσαι καὶ μελετῶν εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ, ἢ *διὰ τῶν χειρῶν* σου ἐργάσῃ εἰς *λύτρον ἁμαρτιῶν σου.* 11. *Οὐ διστάσεις δοῦναι οὐδὲ διδοὺς γογγύσεις· γνώσῃ* δέ, *τίς ὁ τοῦ μισθοῦ καλὸς ἀνταποδότης. Φυλάξεις, ἃ παρέλαβες, μήτε προστιθεὶς μήτε ἀφαιρῶν.* Εἰς τέλος μισήσεις τὸν πονηρόν.

habeat. Illa verba autem omittens Barnabas vim vocis *κυρίος* mutavit, quae apud eum non solum dominos servorum, sed etiam dominos vel praepositos hominum liberorum denotet. — *οὐ μὴ ἐπιτάξῃς*] D 4, 10, ubi ergo haec sententia praecedenti anteposita est.

8. *κοινωνήσεις*] D 4, 8, ubi praemittitur: *οὐκ ἀποστραφήσῃ τὸν ἐνδεόμενον* et voces *ἀθανάτῳ* et *θνητοῖς* leguntur pro vocibus *ἀφθάρτῳ* et *φθαρτοῖς*. Cum Barnabas de officio caritatis ergo proximum etiam v. 9 agat, verbis *οὐκ ἔσῃ κτλ.* additis ordinem sententiarum male interrupit.

9. *μὴ γίνου*] D 4, 5. — *ὡς κόρην τ. ὀφθ.*] S. Scriptura fere ubique (Deut. 32, 10. Ps. 16, 8. Prov. 7, 2) de custodienda (non amanda) pupilla oculi loquitur. Animadverte, quod Barnabas 19, 5 vult, ut Christianus proximum amet plus quam animam suam. — *τὸν λαλοῦντα*] D 4, 1.

10. *μνησθήσῃ κτλ.*] D 4, 1. Auctor Doctrinae verbum *μνησθήσῃ* cum sententia praecedente vel verbis *τοῦ λαλοῦντός σοι τὸν λόγον τοῦ θεοῦ* coniunxit. Barnabas ibi verbum *ἀγαπήσεις* posuit et nonnulla alia addidit; hic *ἡμέραν κρίσεως* inseruit. — *ἐκζητήσεις*] D 4, 2. — Barnabas post *ἁγίων* omisit verba: *ἵνα ἐπαναπαῇς τοῖς λόγοις αὐτῶν*, alia autem adiecit. — *διὰ τῶν χειρῶν*] D 4, 6.

11. *οὐ διστάσεις*] D 4, 7. Haec etiam ad officia caritatis erga proximum pertinent, quae in Doctrina 4, 5—8 simul exhibentur. Barnabas ergo sectionem in tres partes (cf. v. 8 et 9) discerpsit. — *φυλάξεις κτλ.*] D 4, 13. Hic verba recte succedunt mandato: *οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου*, a Barnaba autem ordine consentaneo relicto ita posita sunt, ut vix possint intellegi. — *εἰς τέλος*] Si malus, qui

Κρινεῖς δικαίως. 12. Οὐ ποιήσεις σχίσμα, εἰρηνεύσεις δὲ μαχομένους συναγαγών. Ἐξομολογήσῃ ἐπὶ ἁμαρτίαις σου. Οὐ προσήξεις ἐπὶ προσευχὴν ἐν συνειδήσει πονηρᾷ. Αὕτη ἐστὶν ἡ ὁδὸς τοῦ φωτός.

XX. Ἡ δὲ τοῦ μέλανος ὁδός ἐστιν σκολιὰ καὶ κατάρας μεστή. Ὁδὸς γάρ ἐστιν θανάτου αἰωνίου μετὰ τιμωρίας, ἐν ᾗ ἐστὶν τὰ ἀπολλύντα τὴν ψυχὴν αὐτῶν· εἰδωλολατρεία, θρασύτης, ὕψος δυνάμεως, ὑπόκρισις, διπλοκαρδία, μοιχεία, φόνος, ἁρπαγή, ὑπερηφανία, παράβασις, δόλος, κακία, αὐθάδεια, φαρμακεία, μαγεία, πλεονεξία, ἀφοβία θεοῦ· 2. διῶκται τῶν ἀγαθῶν, μισοῦντες ἀλήθειαν, ἀγαπῶντες ψεύδη, οὐ γινώσκοντες μισθὸν δικαιοσύνης, οὐ κολλώμενοι ἀγαθῷ, οὐ κρίσει δικαίᾳ, χήρᾳ καὶ ὀρφανῷ οὐ προσέχοντες, ἀγρυπνοῦντες οὐκ εἰς φόβον θεοῦ, ἀλλ' ἐπὶ τὸ πονηρόν, ὧν μακρὰν καὶ πόρρω πραΰτης καὶ ὑπομονή, ἀγαπῶντες μάταια, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν, οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, εὐχερεῖς ἐν καταλαλιᾷ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ, ἀποστρεφόμενοι τὸν ἐνδεόμενον, καταπονοῦντες τὸν θλιβόμενον, πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταί, πανθαμάρτητοι.

odio est habendus, homo est, non Satan, Barnabas D 2, 7 respexit correxitque. — *κρινεῖς δικαίως*] D 4, 3.

12. *οὐ ποιήσεις*] D 4, 3. — *ἐξομολογήσῃ κτλ.*] D 4, 14, ubi praemittitur *ἐν ἐκκλησίᾳ* et pro *ἐπὶ ἁμαρτίαις* legitur *τὰ παραπτώματα*.

XX, 1. Barnabas praesertim initium capituli mutavit, quod in Doctrina 5, 1 est hoc: *ἡ δὲ τοῦ θανάτου ὁδός ἐστιν αὕτη· πρῶτον πάντων πονηρά ἐστι καὶ κατάρας μεστή*. Praeterea peccata aliter posuit, pauca adiecit, plura omisit, scilicet *ἐπιθυμίαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, αἰσχρολογία, ζηλοτυπία, ἀλαζονεία*. Voci *πονηρά* substituit vocem *σκολιά* fortasse respiciens Prov. 2, 15.

2. Hic versus in utraque scriptura fere idem est. Barnabas pauca adiecit, mutavit *τὸ ἀγαθόν* (post *ἀγρυπνοῦντες οὐκ εἰς*) in *φόβον θεοῦ*, omisit conclusionem: *ῥυσθείητε, τέκνα, ἀπὸ τούτων ἁπάντων*.

FRAGMENTUM LATINUM.

Doctrina apostolorum.

I. Viae duae sunt *in saeculo,* vitae et mortis, *lucis et tenebrarum. In his constituti sunt angeli duo, unus aequitatis, alter*

Inscr. Latinus unam tantum inscriptionem habet et omisit vocem *δώδεκα,* quam etiam omnes testes omiserunt, qui scripturae mentionem expressam fecerunt, Eusebius, Athanasius etc.

I, 1. *in saeculo*] Haec verba et alia, quae in textu graeco vel codice Constantinopolitano desunt, litteris obliquis expressi. Haud dubie a Latino de suo addita sunt, quippe quae a nullo teste agnita sint, neque a Barnaba neque ab auctoribus Canonum ecclesiasticorum et Constitutionum apostolicarum. Attamen animadvertendum est, Lactantium de duabus *humanae vitae* viis (Epit. 59) vel de duabus viis dicere, per quas *humanam vitam* progredi necesse est (Divin. Instit. VI, 3). — *vitae et mortis*] His vocibus testes omnes praemittunt *μία.* Lactantius quoque Divin. Instit. VI, 3 pergit: una quae in caelum ferat, altera quae ad inferos deprimat. — *lucis et ten.*] Haec verba Barnabas 18, 1 tantum exhibet eaque sola, nec cum Latino verba *vitae et mortis* praemittens, quae a ceteris testibus traduntur. Lactantius quidem Divin. Instit. VI, 3 extr. vocibus illis utitur. Cum autem eodem loco veteres impugnans dicentes, humanae vitae cursum vel duas vias litterae Y similes esse, duas vias disserat potius alteram esse ad solis ortum conversam, alteram ad occasum, iure dubitamus, num voces in Doctrina aliqua apostolorum legerit. Epit. 59 idem scribit: philosophos alteram viam industriae, alteram inertiae esse velle; melius poetas alteram iustorum, alteram impiorum; etiam rectius Christianos alteram vitae, alteram mortis. — *in his constituti*] Similiter Barnabas 18, 1 in viis constitutos esse angelos Dei et angelos Satanae dicit. Quem locum Latinum exscripsisse non est dubium. Praeterea autem et Herm. Mand. VI, 2, 1 respexisse vel in mente habuisse

iniquitatis. Distantia autem magna est duarum viarum. 2. Via ergo vitae haec est: Primo diliges Deum *aeternum*, qui te fecit; secundo proximum tuum ut te ipsum; omne autem, quod tibi non vis fieri, alii ne feceris. 3. Interpretatio autem horum verborum haec est.

II, 2. Non moechaberis, non homicidium facies, non falsum testimonium dices, non puerum violaveris, non fornicaveris, non malefacies, non medicamenta mala facies, non occides filium in abortum nec natum succides, non concupisces quidquam de re proximi tui. 3. Non periurabis, non male loqueris, non eris memor malorum factorum. 4. Non eris duplex in consilium dandum neque bilinguis; tendiculum enim mortis est lingua.

videtur, ubi non in universum angeli vel angeli Dei et Satanae, sed similiter atque apud Latinum nostrum duo angeli commemorantur, unus iustitiae et unus nequitiae. Lactantius Divin. Instit. VI, 3 scribit: Christianos utrique viae praepositum esse dicere, utrumque immortalem, sed alterum honoratum, qui virtutibus ac bonis praesit, alteram damnatum, qui vitiis ac malis. Cum autem caelestis itineris ducem paullo post non angelum vel angelos, sed Deum ipsum appellet cumque eo, quod philosophi de duce viae dexterioris locuti sunt, commotus esse videatur, ut de hac re ageret, minime certum vel verisimile est, eum talem Doctrinae apostolorum formam habuisse, qualem testatur fragmentum latinum. — *duarum viarum*] Latinus omittit cum Barnaba particulam μεταξύ, quam codex Const. et Canones exhibent.

2. *aeternum*] Hanc vocem habet Latinus solus.

3. *haec est*] Sequuntur in codice Constant. et in Constitutionibus apostolorum plura, quae praecipue ex Matth. 5 desumpta, sed et apud Barnabam et in Canonibus ecclesiasticis praetermissa sunt. Initium vel versus primus capitis II deinde alterum mandatum doctrinae indicat. Quae respiciens versum sequentem numero 2 noto, ut dispositio eadem sit atque in Doctrina apostolorum graeca.

II, 2. Latinus unum mandatum textus graeci praetermittit, scilicet οὐ κλέψεις, reliqua autem plane aliter disponit atque ceteri testes, praesertim adulterio pro secundo primum, falso testimonio, quod textus graecus in versu sequente post periurium exhibet, tertium locum attribuit. Mandata sic digessisse videtur respiciens Rom. 13, 9. — *puerum*] Codex post hanc vocem lacunam parvam habet, ut videtur ob plicaturam membranae. — *non malefacies*] i. e. οὐ μαγεύσεις. Codex habet *maofacies* Pez haec verba omisit.

3. Textus latinus cum graeco concordat; modo mandatum οὐ ψευδομαρτυρήσεις, quod in textu graeco secundum locum obtinet, a Latino supra v. 2 positum est.

4. *lingua*] Graece διγλωσσία.

5. Non erit verbum tuum vacuum nec mendax. 6. Non eris *cupidus nec* avarus nec rapax nec adolator nec . . .

5. *vacuum nec mendax*] Ita etiam Canones ecclesiastici. Codex Constant. habet: *ψευδής, οὐ κενός, ἀλλὰ μεμεστωμένος πράξει.* Si quis verba ultima omisit, illa facile aliter disponere potuit.

6. *cupidus nec*] Latinus solus exhibet. Infra 3, 3 quidem textus graecus *ἐπιθυμητής* habet. Non est autem verisimile, Latinum hunc locum respexisse et vocem aliter collocasse. Praeterea quaeritur, num *cupidus* ante voces sequentes idem denotet atque *ἐπιθυμητής* 3, 3. — *adolator*] Textus graecus legit hoc loco *ὑποκριτής*, i. e. *simulator*. Epit. c. 64 Lactantius postquam de homicidio, adulterio et falso testimonio egit, pergit scribens, viro iusto nec adulari licere. Inde autem, ut iam in Prolegomenis exposui, eum versionem legisse non sequitur. — *nec*] Post hanc vocem in folio codicis ultimo etiam verbum unum scriptum erat, quod autem evanuit.

INDEX
LOCORUM S. SCRIPTURAE IN DOCTRINA APOSTOLORUM LAUDATORUM.

1. Ubi signum * prostat, aut locus S. Scripturae disertis verbis allegatur, aut locus Doctrinae ad locum biblicum tam prope accedit, ut verba scripturae velut verba biblica litteris obliquis exprimenda esse mihi visa sint.

INDEX
VOCABULORUM DOCTRINAE DUODECIM APOSTOLORUM[1].

1. Voces, quae in Novo Testamento desunt, numero quadraginta septem, signo * notatae sunt.

CANONES ECCLESIASTICI [1]).

1) Vocabula ex Doctrina apostolorum repetita non enumerantur.